1. Τὴν αὐτὴν περίπου σκέψιν ἐκφράζει καὶ Ἰωάννης ὁ Καντακουζηνός, Ἀπολογίαι..., PG 154, 381 C - 384 D.

2. Τοιαύτη βεβαίως δὲν εἶναι ἡ μωαμεθανικὴ θεολογικὴ σκέψις. Ἀντιθέτως παραδέχεται αὕτη καὶ διδάσκει τὸ ἀκατάληπτον τοῦ Θεοῦ καὶ τοῦ νοητοῦ κόσμου ὑπὸ τοῦ ἀνθρώπου. Τοιαύτη εἶναι ἡ σκέψις τῶν λεγομένων « φυσικῶν φιλοσόφων » (βλ. περίπτωσιν τοῦ ἰατροῦ Ραζῆ) διατελούντων ὑπὸ τὴν ἐπίδρασιν τῶν Ἑλλήνων φυσικῶν καὶ καταδικασθέντων ὑπὸ τῆς ὀρθοδόξου θεολογίας.

καί γε τὸ δοκεῖν οὐχ ὡς ἔδοξεν ἐκείνῳ ἀλλ' ὡς ἡμῖν δοκεῖ βέλτιον εἶναι τοῦτο γενέσθαι λανθανόντως πως σοφωτέρους ἡμᾶς αὐτοὺς οἴεσθαι δείκνυσι καὶ αὐτοῦ τοῦ θεοῦ, τοῦτο δὲ παραφροσύνης ἐσχάτης καὶ πλάνης ἄκρας τεκμήριον. οἷον δὲ καὶ τὸ ἀσύνηθες ἐκεῖνο καὶ ξένον σῶμα τὸ καὶ τοὺς οὐρανοὺς καὶ τὸν ἥλιον τῇ τιμιότητι ὑπερέχον τοῖς ἀνθρώποις ἐφάνη; ἢ τίς τῷ ἀπροσίτῳ καὶ ἀστέκτῳ προσεγγίσαι ἢ πιστεῦσαι ἠνέσχετο; εἰ γὰρ ἡλίου δίσκῳ προσπελάσαι θνητῇ πάσῃ φύσει ἀδύνατον, τί οὐκ ἂν ὑπέστημεν, εἴ γε τούτου βελτίω φύσις συναναστραφῆναι ἡμῖν προσετέτακτο; πῶς δέ σε κἀκεῖνο παρέδραμεν, ὅτι τὸ τιμιώτερον μὴ μόνον ἡλίου ἀλλὰ καὶ παντὸς κτίσματος ὁρωμένου ὁ ἄνθρωπος πέφυκε; ὃς καὶ τοσοῦτον ἁπάντων σωμάτων ὑπερέχει τῷ τῆς τιμιότητος λόγῳ, ὅσον δούλων δεσπότης καὶ ἀψύχων καὶ ἀλόγων τὸ ἔμψυχον καὶ λογικὸν καὶ θεοῦ κατ' εἰκόνα γενόμενον[1].

ΠΛΑΝΟΣ. *Ναί, ταῦτα πάντα σὺν λόγῳ ἀπέδωκας·* [19] *τὸ δὲ πῶς ἐκ γυναικὸς μόνης σπέρματος δίχα τέλειος ἄνθρωπος ὁ Χριστὸς ἀπιστεῖν με βιάζεται*[2].

ΑΛΗΘΗΣ. *Καὶ πῶς ἐξ ἀνδρὸς μόνου σπέρματος ἄνευ ὁλόκληρος ἄνθρωπος ἡ γυνή;*

ΑΧΑΙΜΕΝΙΔΗΣ. *Πῶς τοῦτο λέγεις οὐκ οἶδα· σαφήνισόν μοι τὸν λόγον πλατύ-*

---

179 *ἢ τίς : εἴτις* ΠΚ 185 *ὅσων* Β

---

1. Καὶ ἐνταῦθα ἡ ἐρώτησις τοῦ 'Ισμαὴλ δὲν ἀντιπροσωπεύει τὴν μωαμεθανικὴν θεολογίαν. 'Ο ἄνθρωπος εἶναι τὸ ἀνώτερον τῶν δημιουργημάτων: ὁ Θεὸς ἐδημιούργησεν αὐτὸν ἐκ τοῦ πλέον πολυτίμου ὑλικοῦ (Κοράνιον 95 : 4)· τὸν ἐδίδαξε τὰ ὀνόματα τῶν λοιπῶν δημιουργημάτων (2 : 29)· διέταξε τοὺς ἀγγέλους νὰ τὸν προσκυνήσουν (95 : 4, 20 : 115, 15 : 30, 38 : 73, 18 : 48, 17 : 63, 7 : 10)· ἡ ἄρνησις τοῦ 'Ιμπλὶς προυκάλεσε τὴν πτῶσιν του (20 : 115, 26 : 95, 15 : 31, 38 : 74, 18 : 48, 17 : 63, 7 : 10, 2 : 32)· ὁ Θεὸς ἔθεσεν σύμπαντα τὸν ὑλικὸν καὶ πνευματικὸν κόσμον εἰς τὴν ὑπηρεσίαν τοῦ ἀνθρώπου, ὥστε νὰ δυνηθῇ οὗτος νὰ ἐκπληρώσῃ τὸν ἐπὶ γῆς προορισμόν του (βλ. A. Argyriou, ἔνθ' ἀνωτ., σσ. 40 - 41)· συγκρινόμενος ὅμως πρὸς τὰ ἄυλα ὄντα, ὁ ἄνθρωπος εἶναι Bachar = ὂν σαρκικὸν (Κοράνιον 15 : 28, 33, 19 : 17, 26, 38 : 71, 11 : 29, 12 : 33, 21 : 35 - 36).

2. 'Η παροῦσα ἐρώτησις, καθὼς καὶ ἡ ἐρώτησις τῶν στίχων 228 - 231, ἀναφερόμεναι εἰς τὴν θαυμαστὴν σύλληψιν καὶ γέννησιν τοῦ 'Ιησοῦ, δὲν ἁρμόζουν εἰς τὸ στόμα τοῦ μωσμεθανοῦ, ἐφ' ὅσον ἡ θρησκεία του παραδέχεται τὴν ἄνευ σπέρματος ἀνδρὸς σύλληψιν καὶ θαυμαστὴν γέννησιν τοῦ 'Ιησοῦ (βλ. Κοράνιον 19 : 16 - 37, 21 : 91, 66 : 12, 4 : 169, 3 : 37 - 42, 52. 'Επίσης S. M. Zwemer, The Moslem Christ, London 1912. F. L. Bakker, Jésus en de Islam, 1955. Abd-Al-Jalil, Marie et l'Islam, Paris 1950. M. Hayek, Le Christ de l'Islam, Paris 1959. H Michaud, Jésus selon le Coran, Neuchatel 1960). Οἱ χριστιανοὶ ἀπολογηταὶ φαίνονται θέλοντες νὰ δώσουν μίαν λογικὴν ἢ φυσικὴν ἀπόδειξιν τοῦ μυστηρίου τῆς σαρκώσεως. Διὰ τὸν λόγον δ' αὐτὸν ἀσφαλῶς παρουσιάζουν τοὺς συνομιλητάς των ἐρωτῶντας ἐπ' αὐτοῦ (βλ. καὶ Εὐθυμίου Μοναχοῦ, Διάλεξις..., PG 131, 21 C - 24 A.

τερον [1], *ἐπεὶ οὐ λύσιν τοῦ ζητουμένου δοκεῖ μοι, ἀλλ' ἀπορίαν ἐπ' ἀπορίᾳ ἐπάγειν μοι.*

[20] ΧΡΙΣΤΙΑΝΟΣ. *Φημί· ἐκ τριῶν ὑλῶν διαφόρων πάντη τὴν τῆς ἀνθρωπίνης φύσεως σύστασιν αἱ θεῖαι Γραφαὶ μαρτυροῦσι, πηλοῦ, πλευρᾶς, σπέρματος· καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴν τοῦ γένους ἡμῶν διὰ τριῶν γενέσθαι τρόπων ὡσαύτως πιστεύομεν, πλάσεως, λήψεως, συναφείας· ὧν ὁ μὲν πρῶτος καὶ ὁ δεύτερος ἴδιοι, ὁ μὲν γὰρ τῷ 'Αδάμ, ὁ δὲ τῇ προμήτορι μόνον ἀποκεκλήρωται, ὁ μέντοι γε τρίτος κοινὸς ἅπασιν ὡμολόγηται. οὗτοι γοῦν πάντες, εἰ καὶ τὸν ἡμέτερον λογισμὸν ὑπερβαίνουσιν, ἀλλ' ἀδιστάκτως πιστεύονται παρ' ἡμῶν, καὶ οὐκ ἐπειδὴ τὸν λόγον οὐκ ἴσμεν αὐτῶν, ἤδη καὶ ὡς ἀδυνάτους αὐτοὺς παραιτούμεθα.*

ΤΑΛΙΣΜΑΝΗΣ. *Μάλιστά γε.*

ΜΟΝΑΧΟΣ. *'Ως οὖν ἐπ' ἐκείνων οὔτε τῷ πηλῷ τὴν δύναμιν οὔτε τῇ πλευρᾷ οὔτε τῷ σπέρματι ἀλλὰ τὸ πᾶν εἰς τὸν θεὸν ἀναφέροντες ὁμολογοῦμεν ὅτι μόνῳ ἰσχύει τὰ πάντα τῷ νεύματι, οὕτω καὶ ἐπὶ τῆς αὐτοῦ ἀρρήτου ἐκ τῶν πανάγνων αἱμάτων τῆς παναγίας Παρθένου σαρκώσεως, εἰ καὶ τὸν λόγον αὐτῆς ἀγνοοῦμεν, ἀλλὰ τῷ ὑπὲρ δύναμιν λόγῳ τὸ πᾶν ἀνατίθεμεν· ὁ γὰρ ἐκ μὲν πηλοῦ τὸν ἄνδρα, ἐκ δὲ πλευρᾶς τὴν γυναῖκα, ἐκ δὲ ὁμιλίας ἀνδρός τε καὶ γυναικὸς τὸ ἡμέτερον γένος συνιστῶν, αὐτὸς καὶ σπέρματος ἄνευ, ἐξ αἱμάτων παρθενικῶν, σάρκα ἑαυτῷ συστήσασθαι οὐκ ἀδύνατος. εἰ δ' οὔ, τί σοι τούτων δοκεῖ μεῖζον ἐπὶ θεοῦ, τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ ὄντα πάντα παραγαγεῖν καὶ ἰδίαν φύσιν ἑκάστῳ τῶν γενομένων χαρίσασθαι ἢ τὸ τὰς δοθείσας φύσεις αὐτῶν ἀμεῖψαι πάλιν ἐπὶ τὸ κρεῖττον, ὡς βούλεται;*

ΚΑΡΜΙΑΝΟΣ. *Τὸ πρῶτον.*

ΒΡΥΕΝΝΙΟΣ. *Οὐκοῦν ὁ τὸ πρῶτον ἀκαμάτως νεύματι μόνῳ ποιήσας πιστός ἐστι καὶ τὸ δεύτερον τῷ αὐτῷ λόγῳ ἐργάσασθαι* [2].

ΙΣΜΑΗΛ. *Ἔχει λόγον·* [21] *ἀλλὰ τὸ παράδοξον τοῦ πράγματος καὶ τὸ ἀνάξιον εἶναι τοῦ θεοῦ εἰς τὸ ἀπιστεῖν μᾶλλον, οὐκ εἰς τὸ πιστεύειν, τὰ τοιαῦτα ἐφέλκεται.*

ΙΩΣΗΦ. *Περὶ μὲν τοῦ παραδόξου μάθε ὅτι ἐμοὶ καὶ παντὶ τῷ γε νοῦν ἔχοντι παραδοξότερον σφόδρα δοκεῖ τὸ ἐκ πηλοῦ πλάσαι ἄνθρωπον ἢ ἐξ αἱμάτων συνιστα-*

---

196 *πιάσεως* B 210 *οὐ* : *οὖν* B 212 *αὐτὸν* B

---

1. Τὸ Κοράνιον οὐδόλως ἀναφέρεται εἰς τὴν ἐκ τῆς πλευρᾶς τοῦ 'Αδὰμ δημιουργίαν τῆς Εὔας τῆς ὁποίας οὔτε τὸ ὄνομα ἀναφέρει. Μόνη ἡ μεταγενεστέρα παράδοσις γνωρίζει τὴν βιβλικὴν αὐτὴν παράδοσιν. 'Η ἐρώτησις ὅμως τοῦ μουσουλμάνου εἶναι ἐνταῦθα δικαιολογημένη ;

2. Ἄξιον παρατηρήσεως εἶναι ὅτι τὸ παρὸν ἐπιχείρημα εὕρηται καὶ ἐν τῷ Κορανίῳ 3 : 52 Βλ. καὶ R. Blachère, Le Coran, Paris 1949, II, σ. 871. M. Hayek, ἔνθ' ἀν., σσ. 89-90. H. Michaud, ἔνθ' ἀν., σ. 23.

μένων ἐν μήτρᾳ σάρκα συστήσασθαι, ἐπεὶ φύσει μὲν ἐκ πηλοῦ χρῖσμα ἢ ὄστρακον γίνεσθαι, ἐκ δ' αἱμάτων τοιούτων σὰρξ συνίστασθαι πέφυκε. περὶ δὲ τοῦ ἀνάξιον εἶναι τοῦτο θεοῦ πρόσχες ὅτι, εἰ γενόμενος σὰρξ ὁ θεὸς ἐξέστη τῆς ἑαυτοῦ φύσεως ἢ ὅλως μετέχει τῶν ἐκείνης ἐλαττωμάτων, ὀρθὸς ὁ λόγος, εἰ δὲ τῇ ἀνθρωπίνῃ φύσει τῶν ἑαυτοῦ μεταδοὺς αὐχημάτων αὐτὸς μεμένηκεν ὡς τὸ πρότερον ἀμετάβλητος, τί τοῦτο παρέκλεψε τὴν ἐκείνου μεγαλειότητα;

ΑΠΙΣΤΟΣ. *Πρὸς τοῦτο ἀντειπεῖν οὐκ ἐμόν*[1]. [22] *πλήν, ἐπείπερ, ὡς φής, ἄνθρωπος γέγονε τέλειος, πῶς ἐκ παρθένου γεγέννηται καὶ τὴν μητέρα παρθένον πάλιν μετὰ τὸν τόκον ἐφύλαξε; σῶμα γὰρ διὰ σώματος διήκειν ἀπαθοῦς αὐτοῦ μένοντος καὶ ἀτμήτου ἀδύνατον.*

ΟΡΘΟΔΟΞΟΣ. *Εἰ τὸ ἡλιακὸν φῶς, σῶμα πεφυκὸς ὁρατόν, διὰ παντὸς σώματος διαφανοῦς διῆκον, οἷον ὑέλου, κρυστάλλου, λίθου τιμίου καὶ τῶν τοιούτων, ἀρραγῆ ταῦτα φυλάττει καὶ ἄτμητα καὶ τοιαῦτα οἷα καὶ πρὸ τῆς αὐτοῦ διαβάσεως πεφύκασι, τί θαυμαστόν, εἰ ὁ παντοδύναμος Λόγος τὸ δι' οὗ ἐφάπαξ διῆλθε σῶμα ἐτήρησεν ἄφθορον; μᾶλλον δὲ θαυμαστὸν μὲν καὶ πάνυ καὶ ὑπερθαύμαστον, οὐ μὴν ἀδύνατον τῷ θεῷ οὐδὲ ἄπιστον*[2]. [23] *ἄλλως τε, οὔτε κατὰ τὸν τῆς φύσεως λόγον οὔτε κατὰ τὸν ὑπὲρ φύσιν ἐχρῆν μὴ τὴν παρθενίαν τῆς τεκούσης αὐτὸν ἀσινῆ τηρηθῆναι. κατὰ μὲν τὸν τῆς φύσεως ὧδε, ἔστι δ' ὁ λόγος τῶν διδασκάλων· ἐπειδὴ γάρ, φασί, πᾶσα ἡδονὴ συνημμένον ἔχει τὸν πόνον, ἀνάγκη πᾶσα ἐπὶ τῶν συνημμένως θεωρουμένων τοῦ ἑνὸς μὴ ὄντος, μηδὲ τὸ ἕτερον εἶναι· ὅπου τοίνυν ἡδονὴ τοῦ τόκου οὐ καθηγήσατο, οὐδ' ὁ ἀκόλουθος λοιπὸν ταύτῃ πόνος ἐπηκολούθησε. κατὰ δέ γε τὸν ὑπὲρ φύσιν, ὅτι θεοῦ παρουσία καὶ πραγματεία οὐδενὶ τῶν ὄντων ὀδύνην ἢ φθοράν, χαρὰν δὲ μᾶλλον καὶ ἀφθαρσίαν χαρίζεται.* [24] *ἔπειτα σύ, ὁ δεχόμενος ὅτι ὁ 'Αδὰμ ἄνευ γυναικὸς καὶ δίχα πόνων, παντουργικῇ νεύσει, γυναῖκα ἤνεγκε, διατί μὴ παραδέχῃ ὅτι καὶ ἡ Παρθένος ἄνευ ἀνδρὸς καὶ χωρὶς ὠδίνων ἄνδρα ἔτεκε; τοῦτο γὰρ ὁ λόγος πιστούμενος ἄνωθεν ἐκεῖνο παρέδειξε καὶ ὅτι ἐπὶ θεοῦ οὐ δεῖ τῇ φύσει τῶν πραγμάτων προσέχειν, ἀλλὰ τῇ δυνάμει τοῦ ἐνεργοῦντος πιστεύειν. εἰ γὰρ κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν καὶ τάξιν καὶ ἐπὶ τῆς τοῦ θεοῦ παρουσίας*

---

234 *καὶ τοιαῦτα* παραλ. Κ 238 *τῆς*¹ παραλ. ΠΚ 243 *ἀπηκολούθησε* Π 246 *παραδέχει* Β 247 - 248 *τοῦτο γάρ... παρέδειξε* παραλ. Κ 248 *ἐπὶ θεοῦ* : *ἐπὶ τοῦ θεοῦ* Κ *οὐ δεῖ* : *οὐδεὶς* Π 250 *ἀκολουθίαν καὶ τάξιν* : *τάξιν καὶ ἀκολουθίαν* ΠΚ

---

1. 'Η συγκατάθεσις τοῦ 'Ισμαὴλ εἶναι βεβιασμένη. Τὸ γεγονὸς ὅτι ὁ ὑπερβατὸς καὶ ἀπρόσιτος θεὸς ἐγένετο ἄνθρωπος εἶναι διὰ τὴν μωαμεθανικὴν θεολογίαν ἀκατανόητον. 'Ως ἐκ τούτου δὲν δύναται αὕτη νὰ κατανοήσῃ τὰ περὶ διακρίσεως τῶν δύο ἐν Χριστῷ φύσεων.

2. Βλ. καὶ Εὐθυμίου Μοναχοῦ, Διάλεξις..., PG 131, 21 D 9 - 24 A 8 καὶ κῶδιξ 268 τῆς Μονῆς Διονυσίου (φ. 526 κἑξ.).

ἀποτελεῖται τὸ πρᾶγμα, οὐ θείας ἐνεργείας δείγματα ταῦτα ἀλλὰ φυσικῆς προόδου ἀποτελέσματα πᾶς τις νομίζων οὔτε παρόντα τὸν θεὸν ἐπιγνώσεται οὔτε ἀπόντα δοξάσει περὶ τῶν πραχθέντων εὐχαριστῶν.

[25] ΑΣΕΒΗΣ. *Καὶ πῶς ἐμοῦ ταῦτα πολλοὺς πολλάκις πυνθανομένου, οὐδεὶς οὕτω μοι, ὥσπερ σύ, ἀπεκρίνατο, ἀλλ' οἱ μὲν ἐβλασφήμουν εἰς τὸν Προφήτην, οἱ δὲ ἀναισχύντως ἐμὲ μόνον ὑβρίζοντες, ἐδόκουν ἐν τούτῳ τῆς ἀγνωσίας ἀποφεύγειν τὸν ἔλεγχον, οἱ δ' ἄλλ' ἀντ' ἄλλων ἐλάλουν, ὥστε μόνον δοκεῖν ἀποκρίνεσθαι*[1]*;*

ΕΥΣΕΒΗΣ. *Ἴσως ἀνδρὶ οὐκ ἐνέτυχες τοὺς τῆς ἀληθείας λόγους ἐπισταμένῳ· ἐπεὶ ταὐτά σοι ἢ ταὐτὰ τούτοις κἀκεῖνος ἂν ἀπεκρίνατο.*

---

251 *δείγματα* : *δόγματα* Π 256 *ἐμὲ* : *με* ΠΚ 257 *δὲ ἄλλα* ΠΒ 259 *κἀκείνοις* Κ *ἂν* παραλ. Π

---

1. Αἱ κατὰ τοῦ Μωάμεθ, τοῦ λαοῦ του καὶ τῆς θρησκείας του βλασφημίαι τῶν χριστιανῶν εἶναι ὄντως πολυάριθμοι. Βλ. Ἰωάννου τοῦ Δαμασκηνοῦ, Πηγὴ Γνώσεως, PG 94, 764 A - B, 765 C, 772 D. Ἀνωνύμου, Κατὰ Μωάμεθ, PG 104, 1449, 1452 B, 1457 D Τὰς αὐτὰς κατηγορίας ἐπαναλαμβάνουν καὶ οἱ χρονογράφοι. Βλ. εἰσέτι Βαρθολομαίου, Ἔλεγχος..., PG 104, 1388 B - D, 1448, 1449 καὶ κυρίως τὰ εἰς τὸν βίον τοῦ Μωάμεθ ἀναφερόμενα (1416 D - 1441 D). Νικήτα τοῦ Βυζαντίου, Ἀνατροπή..., PG 105, 765 A - C, 781 A, 777 A, 789 C, 797 C, 709 B - C, 780 A, 800 C. Εἰς τὰ τῶν Βαρθολομαίου καὶ Βυζαντίου συγκριτέα τὰ ὑπὸ τῶν Ζιγαβηνοῦ, Χωνιάτου καὶ τῆς Διατάξεως γραφόμενα. Εὐθυμίου Μοναχοῦ, Διάλεξις..., PG 131, 33 C - 36 A. Ἀρέθα, Ἐπιστολή, μτφρ. A. A b e l, σσ. 293, 296 - 298. Ριχάρδου, Confutatio, PG 154, 1040 B - C, 1041 D, 1052 A - C, 1057 C - 1061 C, 1140 D - 1148 B. Καντακουζηνοῦ, Λόγοι, PG 154, 589 C - 600 C, 601, 604 καὶ κυρίως τὴν τετάρτην Ἀπολογίαν (532 D - 584 A). Μανουὴλ Β' Παλαιολόγου, Διαλέξεις..., ἔκδ. E. T r a p p, σσ. 56 - 57, 65 - 75. Ἤδη ἀπὸ τῶν πρώτων χρόνων τῆς ἐμφανίσεως τοῦ Ἰσλάμ, ἡ περὶ τοῦ Μωάμεθ ἀντίληψις τῶν χριστιανῶν λαμβάνει δύο κατευθύνσεις: α) Ὁ Μωάμεθ εἶναι αἱρετικός, ἐμόρφωσε δὲ ἰδίαν θρησκείαν ἐκ στοιχείων ἰουδαϊκῶν, χριστιανικῶν — καὶ δὴ αἱρετικῶν, μονοφυσιτικῶν, ἀρειανικῶν καὶ νεστοριανικῶν — καὶ εἰδωλολατρικῶν ἀραβικῶν. β) Ὁ Μωάμεθ εἶναι ὁ Πρόδρομος τοῦ Ἀντιχρίστου ἢ αὐτὸς οὗτος ὁ Ἀντίχριστος. Βεβαίως αἱ δύο γνῶμαι ἐξαρτῶνται ἡ μία τῆς ἄλλης. Ἡ περὶ τοῦ Μωάμεθ ὡς αἱρετικοῦ γνώμη ἐπεκράτησε κυρίως ἐν τῇ Δύσει (βλ. λεπτομερῆ ἀνάλυσιν τῶν αἱρετικῶν στοιχείων τῆς θρησκείας του παρὰ Ριχάρδῳ, Confutatio..., PG 154, 1041 D - 1048 A). Μολονότι ἡ γνώμη αὕτη ἐμορφώθη τὸ πρῶτον εἰς τὴν Ἀνατολὴν (ἀπαντᾷ τὸ πρῶτον παρὰ τῷ Δαμασκηνῷ) καὶ παρέμεινε διάχυτος καθ' ὅλην τὴν μεταγενεστέραν περίοδον, ἰδιαίτεραι ἱστορικαὶ συνθῆκαι συνετέλεσαν ὥστε ὁ Μωάμεθ νὰ παρουσιασθῇ εἰς τὰς συνειδήσεις τῶν χριστιανῶν τῆς Ἀνατολῆς ὡς ὁ Ἀντίχριστος ἢ ὁ πρόδρομος αὐτοῦ, ἰδιαιτέρως διὰ τῆς συγγραφῆς καὶ διαδόσεως τῶν παντὸς εἴδους ἐσχατολογικῶν κειμένων (Ψευδο - Δανιήλ, Ψευδο - Μεθόδιος Πατάρων, Λέων ὁ Σοφὸς κλπ.). Τὰ κείμενα αὐτὰ γίνονται πλέον συγκεκριμένα καὶ πολυπληθέστερα κατὰ τὴν μεταβυζαντινὴν περίοδον (βλ. π.χ. ὑπομνήματα εἰς τὴν Ἀποκάλυψιν τοῦ Ἰωάννου καὶ ἄλλα ἐσχατολογικὰ κείμενα τῶν χρόνων τῆς Τουρκοκρατίας).

ΠΛΑΝΟΣ. *Ὡς ταῦτα εἰκότα γε φής, συναινέσαιμι ⟨ἄν⟩.* [26] *ἀλλ' ἐκεῖνο φράσον· τίνι λόγῳ τὴν τοῦ 'Αδὰμ μετάνοιαν ὁ Θεὸς οὐκ ἐδέξατο, ἔτη ἐνακόσια τριάκοντα προσκλαίοντος αὐτῷ, μᾶλλον δὲ παρὰ πᾶσαν αὐτοῦ τὴν ζωήν; ἥτις, εἴγε εὐπρόσδεκτος γέγονε, τὰ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου ἐνέλιπε πάντως*[1].

ΑΛΗΘΗΣ. *Ὁπόταν ἡ μετάνοια πόρρω που τῆς ἁμαρτίας ἀφιστᾷ τὸν μετανοοῦντα, τηνικαῦτα καὶ μετάνοια εἰκότως ἂν ὀνομάζοιτο· ἡνίκα δὲ πρὸς αὐτὸ ἐπανάγῃ τὸ πρᾶγμα ἢ τὸν τρόπον ἢ τὸν τόπον, ἐν ᾧ ὑποστρέψας ὁ δῆθεν μετανοῶν τοῖς προτέροις ἢ καὶ χείροσι περιπεσεῖται κακοῖς, οὐκέτ' ἂν μετάνοια λέγοιτο. ἐπεὶ οὖν ὁ 'Αδὰμ μετὰ τὴν παράβασιν, τοῦ ξύλου τῆς ζωῆς ἐφιέμενος, τὸν παράδεισον ἐπεζήτει, ἐξ οὗπερ εἴ γε συνεχωρήθη μεταλαβεῖν, ἀθάνατος ἔμελλε μένειν ἁμαρτωλός, διὰ τοῦτο παρεωρᾶτο μετανοῶν. ἔτι πᾶς ἁμαρτάνων, πρός τι προσπαθῶς ἔχων, τὴν ἁμαρτίαν ἐργάζεται καὶ πᾶς δικαίως τινὸς ζημιούμενος, τοῦ πρὸς ὃ προσπαθῶς ἔχει τὴν ζημίαν ὑφίσταται, ἥτις οὐ ζημία, ὥσπερ δοκεῖ, ἀλλὰ παιδεία καὶ νουθεσία ἐστίν. εἰ οὖν μετὰ τὴν στέρησιν τοῦ πρὸς ὃ τὴν προσπάθειαν κέκτηταί τις προσκλαίει δῆθεν μετανοῶν ἐπὶ σκοπῷ τοῦ συγχωρηθῆναι πάλιν ἐπαπολαύειν τοῦ ποθουμένου, οὐ μετάνοια τοῦτο ἀλλὰ προσπάθεια ἄντικρυς· εἰδεμή, παραχωρήσωμεν καὶ τῷ ἅρπαγι ὧν ἥρπασε χρημάτων, καὶ τῷ μοιχῷ τῆς μεμοιχευμένης πρὸς αὐτοῦ, καὶ παντὶ τῷ μετὰ τὴν δίκαιον τιμωρίαν μετανοοῦντι ἐπαπολαύειν ὧν ἐνδίκως τιμωρούμενος ἐζημίωται*[2].

ΙΣΜΑΗΛ. *Καλῶς τοῦτο λέλυται·* [27] *διατί δὲ μὴ πρὸ πεντάκις χιλίων ἐτῶν τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν ἐποίησεν, ἀλλ' ἐπ' ἐσχάτων τῶν χρόνων;*

ΧΡΙΣΤΙΑΝΟΣ. *Ὅτι, καθάπερ ἄριστος ἰατρὸς οὐχ ὅταν τὸ πάθος αὔξησιν ἔχῃ τὴν ἔμπλαστρον τίθησιν, ἀλλ' ὅταν πᾶσαν ἐκρήξῃ κακοχυμίαν, οὕτω καὶ ὁ θεὸς ἀνέμενε παραχωρῶν πᾶσαν τελεσθῆναι κακίαν καὶ οἱονεὶ τὸ τραῦμα κορυφωθῆναι καὶ τότε τὴν ἰατρείαν ἐπαγαγεῖν· ἐπεὶ τὰ μεγάλα τῶν νοσημάτων καὶ πολλοῦ χρόνου δεῖται πρὸς θεραπείαν καὶ μακρᾶς διαίτης καὶ μειζόνων βοηθημάτων.*

---

260 *συναίνισαί μοι* Π *συναινέσας μοι* Κ 261 *ἔτι* Β *ἐνακόσια παραλ.* ΒΠ *ἐννακόσια* Κ 262 *ἥτις : εἴτις* ΠΚ 265 *ἐπανάγῃ* Π 267 *χείρω* ΠΚΒ *οὐκ' ἔτι* Π 277 *τῆς : τοῖς* Κ

---

1. 'Εν τῷ Κορανίῳ λέγεται ὅτι ὁ Θεὸς συνεχώρησε τὴν ἀνυπακοὴν τοῦ 'Αδάμ, 20 : 114, 119 - 120, 2 : 35.

2. Αἱ σκέψεις αὐταὶ τοῦ βυζαντινοῦ θεολόγου ἀναφέρονται βεβαίως εἰς τὴν μετάνοιαν τοῦ 'Αδὰμ καὶ παντὸς ἀνθρώπου. Οὐχ ἧττον ὅμως ἰσχύουν διὰ τὴν βυζαντινὴν χριστιανικὴν κοινωνίαν τῆς ὁποίας αἱ ἁμαρτίαι καὶ ἡ ἀνειλικρινὴς μετάνοια ἀναγκάζουν τὸν Θεὸν νὰ τοῖς ἀποστέλλῃ συμφορὰς καὶ νὰ τοὺς « παιδεύῃ ». 'Εξ ἄλλου εἶναι ἄξιον ὅλως ἰδιαιτέρας παρατηρήσεως τὸ γεγονὸς ὅτι ὁ Βρυέννιος, ἐξ ὅλων τῶν μυστηρίων τῆς 'Εκκλησίας, μόνον τὸ τῆς μετανοίας ἀναφέρει. Καὶ τοῦτο διὰ νὰ ἐκθέσῃ τοὺς ὅρους τῆς εἰλικρινοῦς μετανοίας, τῆς μόνης ἀποδεκτῆς ὑπὸ τοῦ Θεοῦ.

ὥστε ὁ ἁρμοδιώτατος καιρὸς τῆς ἐνσάρκου οἰκονομίας τὸ πεντάκις χιλιοστὸν πεντακοσιοστὸν ἕβδομον ἔτος ἦν.

ΤΑΛΑΣΙΜΑΝΗΣ. *Εἶεν·* [28] *ἵνα τί οὖν, θεὸς ὢν πανσθενέστατος, εἰς τόνδε τὸν κόσμον παραγενόμενος μὴ πάντας ἠφάνισε τοὺς μὴ ὄντας θεούς;*

ΜΟΝΑΧΟΣ. *Τοῦτο, κἂν ἡμεῖς σιγήσωμεν, οἱ λίθοι κεκράξονται· ὅτι οὐκ ἦν τόπος ἢ χώρα ἢ πόλις ἢ νῆσος ἢ λιμὴν ἢ ἐσχατιά, ὅπου οὐκ ἦν βωμὸς τῶν εἰδώλων. καὶ πάλιν οὐκ ἦν βασιλεὺς ἢ τύραννος ἢ σατράπης, ὃς μὴ διαφέροντας τοῖς ἄλλοις θεοὺς ἡγεῖτο καὶ προσεκύνει. ἀλλὰ πάντας ἐκείνους ἐλθὼν ὁ Χριστὸς τούς τε βωμοὺς ἠφάνισε καὶ τὴν πολυθεΐαν κατήργησε καὶ εἰς μίαν πίστιν ἅπαντας ἀγαγών, ἕνα θεὸν ἡγεῖσθαι καὶ προσκυνεῖν διδάξας, πᾶσαν τὴν γῆν ἄρδην τῆς ἑαυτοῦ δόξης ἐπλήρωσε* [1].

[29] ΚΑΡΜΙΑΝΟΣ. *Καὶ διατί, ὥσπερ τὸν τύραννον ἔδησε καὶ τὴν εἰδωλολατρίαν κατήργησε, μὴ καὶ τοὺς τῆς ἐκκλησίας αὐτοῦ διώκτας ἀφανισμῷ παραδίδωσι;*

ΒΡΥΕΝΝΙΟΣ. *Ὅτι οὔπω τῆς κρίσεως ὁ καιρὸς οὐδὲ βιάζεται τὴν ἀρετὴν οὐδὲ τὴν κακίαν κωλύει· καὶ πρὸς τούτοις, ὅτι διὰ τῶν φαύλων πάντοτε τὰ καλὰ καὶ δείκνυται καὶ θαυμάζεται. ἕκαστον δ' αὐτὸ καθ' αὐτὸ καὶ μόνον φαινόμενον περιττὸν εἶναί τι καὶ ἀχρεῖον δοκεῖ· εὐθὺς γὰρ τοῦ σκότους ἡ ἀμορφία τὴν τοῦ φωτὸς καλλονὴν ἐμφαίνει τὰ μάλιστα καὶ τῆς ὑγείας τὸ χρήσιμον ὅσον ἡ τυραννὶς τῆς νόσου παρίστησι καὶ τὸ τῆς φρονήσεως ἀναγκαῖον ἡ τῆς ἀγνωσίας δείκνυσιν ἀβελτηρία καὶ τῆς ὀρθοδοξίας τὸ χρῆμα οἱ κατὰ καιροὺς αἱρετικοὶ διελέγχουσιν ὡς ἐξαίρετον καὶ τὸ τῆς ἐκκλησίας ἀήττητον ἡ τῶν ἐναντίων ἐπίθεσις φανεροῖ. χρὴ γὰρ καὶ αἱρέσεις ἐν αὐτῇ πάντως εἶναι, ἵνα οἱ δόκιμοι φαίνωνται* [2].

ΙΣΜΑΗΛ. *Ἔστω ταῦτα ὡς θέλεις·* [30] *διατί οὖν λέγετε ὅτι τὴν κατάραν ἔλυσε καὶ τὸν θάνατον κατήργησεν ὁ Χριστός, πάντων πάλιν ἀποθνησκόντων ὡς πρότερον;*

---

290 Λουκ. 19,40   310 πρβλ. Β' Τιμ. 1,10.

---

291 *ὁπού* ΠΚ   293 *θεοῖς* Β   295 *θεῷ* Π   297 *ἔθησε* Κ   *ἔδυσε* Π   300 *ὅτι* : *ἔτι* Κ   302 *καὶ παράλ.* Κ   303 *τὰ* : *τε* Κ   309 *θέλῃς* ΠΚ

---

1. Ἐπ' αὐτοῦ βλ. καὶ Καντακουζηνοῦ, Ἀπολογίαι, PG 154, 500 A 6 - 508 A 3.

2. Αἱ τοιούτου εἴδους σκέψεις καὶ γνῶμαι εἶναι συνήθεις κατὰ τὴν ἐποχὴν τοῦ Βρυεννίου καὶ μετὰ ταῦτα. Εὑρίσκομεν δ' αὐτὰς εἰς τὰς πολυπληθεῖς *παραμυθητικὰς ὁμιλίας* τῆς ἐποχῆς. Σημειωτέον ὅμως ἐπίσης ὅτι ἀπὸ τῆς ἐποχῆς ἤδη τοῦ Κορανίου ἡ διαίρεσις τῶν χριστιανῶν εἰς πλείστας ὅσας αἱρέσεις καὶ αἱ μεταξὺ αὐτῶν ἔριδες, ἐθεωροῦντο ὑπὸ τῶν μωαμεθανῶν ὡς ἀδυναμία τῆς χριστιανικῆς πίστεως καὶ ἴσως ἀποτέλεσμα τῆς νοθεύσεως τῶν Γραφῶν, ὁπωσδήποτε ὅμως ὡς ἀπόδειξις τῆς ἀπομακρύνσεως τῶν χριστιανῶν ἀπὸ τοῦ Θεοῦ.

ΙΩΣΗΦ. *Διὰ τὴν τοῦ κυριακοῦ σώματος ἀνάστασιν καὶ διὰ τὴν τῶν ψυχῶν ἐκ τοῦ ᾅδου λύτρωσιν καὶ πρὸς τὸν οὐρανὸν ἀνάβασιν, οὐ μόνον τῶν τότε κατὰ τὴν ἡμέραν τῆς αὐτοῦ ἀναστάσεως ἀπολυθεισῶν ἀλλὰ καὶ τῶν μετέπειτα, ἔτι δὲ διὰ τὴν ἀνάστασιν τῶν ἐν τῇ σταυρώσει αὐτοῦ καὶ εἰς ὕστερον ἀναστάντων νεκρῶν διὰ τῶν ἁγίων αὐτοῦ προφανῶς καὶ τῆς τοῦ θανάτου πρὸς τῶν μαρτύρων αὐτοῦ καταφρονήσεως τῆς εἰσέτι καὶ νῦν γινομένης. ἄλλως τε δεῖ σκοπεῖν ὡς, εἴπερ τὸ ἐντὸς τῆς οἰκίας σκότος ὑποχωρεῖ τῇ τοῦ φωτὸς παρουσίᾳ καὶ τὰ βοηθητικὰ φάρμακα ὑπερνικᾷ τὴν προποθεῖσαν τῶν φθαρτικῶν δύναμιν καὶ τὰ ναρκήσαντα τῶν σωμάτων τῷ κρύει τῇ τοῦ θερμοῦ πάλιν ἐπελεύσει ζωογονεῖται, πολλῷ μᾶλλον τῇ τῆς αὐτοζωῆς πρὸς ἡμᾶς παρουσίᾳ καὶ κοινωνίᾳ ἀπελαθεῖεν ἂν ἀφ' ἡμῶν ἥ τε κατάρα καὶ ἁμαρτία καὶ ὁ ταύτης ἀπόγονος θάνατος.*

[31] ΑΠΙΣΤΟΣ. *Τί οὖν; οὐκ ἀποθνήσκετε πάντες οἱ χριστιανοὶ ὥσπερ καὶ οἱ πρὸ τοῦ ἐλθεῖν τὸν Χριστὸν ἄνθρωποι;*

ΟΡΘΟΔΟΞΟΣ. *Ναί, ἀποθνήσκομεν καὶ τῇ γεννήσει πάντες λειτουργοῦμεν τὰ ὀφειλόμενα, ἀλλ' οὐ καταβαίνομεν εἰς ᾅδου οὐδὲ κατεχόμεθα ἐκεῖ δέσμιοι ὡς τὸ πρότερον, ὅτε κατειχόμεθα τῷ θανάτῳ τῷ τῆς ἁμαρτίας ἐνεχόμενοι γραμματείῳ, ἀλλ' εἰς τὸν οὐρανὸν ἀναβαίνομεν ὅπου ὁ Χριστὸς ἡμῶν ἐστι. θάνατος δ' ἐκεῖνός ἐστιν, ὅταν μηκέτι συγχωρῆταί τις μετὰ τὸ θανεῖν ἐπανελθεῖν εἰς τὴν ζωήν. ὁπόταν δὲ θανόντες μετὰ τὸ θανεῖν πάλιν ζῶμεν, καὶ ζωὴν τὴν ἀμείνω, οὐ θάνατος προδήλως τοῦτό ἐστιν, ἀλλὰ κοίμησις καὶ πρὸς τὴν ἀληθῆ ζωὴν πορεία καὶ ἐπανέλευσις. Πλὴν ἔσονταί τινες, οἳ καὶ τοῦτον ὃν βλέπεις θάνατον διαφεύξονται· ἀλλαγήσονται γὰρ ἀλλ' οὐ κοιμηθήσονται*[1].

[32] ΑΣΕΒΗΣ. *Καὶ τί δήποτε μὴ καὶ τὸ σῶμα τοῦ Χριστοῦ τὰ σώματα τῶν δικαίων ἀνέστησεν, ὥσπερ ἡ ψυχὴ αὐτοῦ καταβᾶσα εἰς ᾅδου τὰς τῶν ἐκεῖσε πεπισκευκότων ψυχάς; ἢ διατί μὴ καὶ τῶν καθ' ἑκάστην θνησκόντων ἀνίστησιν;*

ΕΥΣΕΒΗΣ. *Ὅτι δεῖ πάντας ἐν μιᾷ καιροῦ ῥοπῇ τελειωθῆναι, ἵνα μὴ οἱ μὲν πρὸ τοσούτων ἐτῶν ἀναπαύωνται ἢ καὶ κολάζωνται, οἱ δὲ τοῦ χρεὼν ἀπολείπωνται καὶ ἵνα μὴ ἡ συντέλεια καὶ ἡ ἀνάστασις καὶ ἡ κρίσις ἀπελπισθῇ.*

[33] ΠΛΑΝΟΣ. *Διατί μὴ πολλοῖς μετὰ τὴν ἀνάστασιν ὤφθη εἰς τοὐμφανές, ὥστε ταύτην τοῖς πᾶσι βεβαίως πιστώσασθαι;*

---

317 *γινομένοις* ΠΚΒ 321 *αὐτὸ ζωῆς* Π 323 *καὶ* παραλ. ΠΚ 325 *Ναί* : *καὶ* Κ 328 *δὲ* ΠΚΒ 329 *συγχωρεῖται* ΠΒ *τὴν* παραλ. ΠΒ 331 *τουτέστιν* Κ 334 *τοῦ* παραλ. ΠΒ *τὰ σώματα* παραλ. ΠΚ 336 *ἀνέστησεν* ΠΚ 338 *τῶν σούτων* Β *τῶν χρεῶν* ΠΚ

---

1. Σχετικῶς μὲ τὴν κατάργησιν τοῦ θανάτου διὰ τῆς σαρκώσεως καὶ τοῦ θανάτου τοῦ Χριστοῦ βλ. καὶ Εὐθυμίου Μοναχοῦ, Διάλεξις..., PG 131, 24 Α - Β. 'Αρέθα, 'Επιστολή, μτφρ. Α. Abel, σσ. 300 - 302. Μανουὴλ Β' Παλαιολόγου, Διαλέξεις, ἔκδ. Ε. Trapp, σ. 144. Τὸ κείμενον τοῦ Μανουὴλ ὁμοιάζει καταπληκτικῶς μὲ τὸ κείμενον τοῦ Βρυεννίου.

ΑΛΗΘΗΣ. *Καὶ τοῦτο εἰργάσατο μάλα σαφῶς ἀναφανδὸν ἐπάνω πεντακοσίοις ὀφθεὶς ἀδελφοῖς, τοῖς ἀποστόλοις ἅπασι καὶ πολλοῖς τῶν ἁγίων· ἔφαγεν ἐνώπιον αὐτῶν, ἔπιεν, ἐψηλαφήθη, ὡμίλησε, συνεκάθησε πολλοῖς καὶ συνωδοιπόρησε, τὴν ἀνάστασιν πᾶσι πιστούμενος. εἰδεμή, πᾶσι, πιστοῖς καὶ ἀπίστοις, καινὸν οὐδέν· οὐδὲ γὰρ τοιαύτης ὀπτασίας ἄξιοι πάντες, ὥστε τὰ ἄφθαρτα καθορᾶν, καὶ ἵνα μὴ ἐντεῦθεν φαντασία νομισθῇ ἡ οἰκονομία, ἢ ψευδὴς ἡ σταύρωσις αὐτοῦ τοῖς χριστομάχοις ὑποπτευθῇ, καὶ ὅτι τὰ μὲν φθαρτὰ σώματα φαίνεσθαι μόνον οὐ μὴν δὲ καὶ μὴ φαίνεσθαι χάριν ἔχει, τὸ μέντοι σῶμα τὸ ἄφθαρτον καὶ ἀμφότερα.*

[34] ΑΧΑΙΜΕΝΙΔΗΣ. *Καὶ τίνος ἕνεκεν μὴ ἑαυτὸν ὀφθαλμοφανῶς τοῖς ἀνθρώποις δείκνυσι καὶ παρέχει ἑκάστῳ τὸ ὑποκορέννυσθαι τῇ ἀφῇ καὶ ὁράσει καὶ γνώσει*[1];

ΧΡΙΣΤΙΑΝΟΣ. *Τοῦτο ἤδη πεποίηκε τῇ αὐτοῦ μέντοι ἐνανθρωπήσει, ἐπὶ τῆς γῆς ὀφθεὶς καὶ τοῖς ἀνθρώποις συναναστραφείς, καὶ εἰσέτι ποιεῖ μυστικωτέρῳ τρόπῳ, ὁρώμενος ἡμῖν καὶ ἀχωρίστως συνών, εἰ καὶ διὰ τὸ ἀμύητον εἶναί σε ὁ τρόπος οὗτος οὐκ εὐσύνοπτος*[2].

[35] ΤΑΛΑΣΙΜΑΝΗΣ. *Ἀλλ' ὤφειλε μὴ μόνον ὡς ἄνθρωπος καὶ ἅπαξ ἀλλὰ καὶ ὡς θεὸς ἀεὶ φαίνεσθαι καὶ ἐνεργεῖν θεῖα πάντων ἐνώπιον, ἵνα μηδέν' ἀφίῃ τῆς ἑαυτοῦ καταφρονεῖν ὑψηλότητος καὶ τοὺς μὴ ὄντας θεοὺς θεοὺς ἡγεῖσθαί ποτε*[3].

ΜΟΝΑΧΟΣ. *Ταῦτα πάντα μετὰ τὴν κρίσιν ἔσται ἁρμόδια. εἰ δὲ νῦν ταῦτ' ἐποίει πρὸς τὸ φιλενδείκτης νομίζεσθαι, καὶ βίᾳ τὴν ἀρετὴν ἀφ' ἡμῶν ἂν ἐπορίζετο καὶ τὴν αὐτεξουσιότητα ἀφῃρεῖτο ὁσημέραι τὴν ἡμετέραν, ἔτι δὲ τῆς ἑαυτοῦ φύσεως ἐξίστατο συνεχῶς παντοῖος γινόμενος, ἅτε πλείσταις ὑπείκων ὀρέξεσι. φύσει γὰρ ἀόρατος ὢν ἀναλλοίωτός τε ἀπρόσιτος καὶ ἐλεύθερος, εἴπερ τοῖς πᾶσιν, ὡς λέγεις, ἐφαίνετο καὶ προσιτὸς ἐγίνετο, ᾗ θεός, μεταβολὴν καὶ ἀλλοίωσιν τὴν ἐσχάτην ὑπέμενεν ἄν, τό γε ἀόρατον αὐτοῦ εἰς ὁρατὸν μετατρέπων, εἰς προσιτὸν τὸ ἀπρόσιτον καὶ τὸ κύριον φύσει εἰς δοῦλον, καὶ λοιπὸν ἀταξία καὶ σύγχυσις καὶ οὐδὲν μόνιμον παρ' αὐτῷ ἑωρᾶτο καὶ πρὸς τούτοις ἓν ἐκ τῶν*

342-343 Α' Κορ. 15,6.

---

342 *ἠργάσατο* Κ 346 *τοιαύτας* Κ 352 *τὸ ὑποκορέννυσθαι* : *τοῦτο κορέννυσθαι* Β 353 *ἤδη* : *εἶδε* Κ 357-358 *ἀλλὰ ὡς θεὸς καὶ ἀεὶ* ΠΚ 359 *καταφρονῶν* Κ 360 *ταῦτ'* : *ταῦτα* Π *ταύτα* Κ 365 *ᾗ* : *ἡ* Β *εἰ* ΠΚ

---

1. Αἱ μεταξὺ τῶν παραγράφων 32 καὶ 34 περιεχόμεναι ἐρωτήσεις δὲν ἐνδιαφέρουν ἀμέσως τὰς μεταξὺ χριστιανῶν καὶ μωαμεθανῶν διαφοράς.

2. Ἐνταῦθα ὁ συγγραφεὺς ὑπαινίσσεται τὴν διὰ τῶν μυστηρίων μᾶλλον ἢ τὴν διὰ τῆς μυστικῆς ὁδοῦ ἕνωσιν μετὰ τοῦ Θεοῦ. Ἀμφότερα ὅμως εἶναι ἀκατανόητα διὰ τὸν μωαμεθανόν, παρὰ τὴν μεγάλην, ἂν καὶ ἀνεπίσημον, ἀνάπτυξιν τοῦ μυστικισμοῦ.

3. Ἡ τοιαύτη παρατήρησις οὐδέποτε θὰ ἐγίνετο ὑπὸ μωαμεθανοῦ. Ἡ «θεοφάνεια» εἶναι διὰ τὸν μωαμεθανισμὸν ἀπολύτως ἀπαράδεκτος.

δύο συνέβαινε πάντως, ἢ ἡμᾶς ἰσοθέους εἶναι τῇ θεωρίᾳ καὶ γνώσει, τῷ τὸν θεὸν ὡς ἔχει φύσεως καθορᾶν ἢ τὸ θεῖον αὐτὸ συγκατιέναι πᾶσιν ἡμῖν χωροῦσιν ἐπὶ τὰ χείρω καὶ ἀδεῶς ἁμαρτάνουσιν. ὁρᾶς ὅση κακία τὸ κρίνειν ἀκόλουθα λογισμοῖς ἀνθρωπίνοις τὰ θεῖα καὶ ὡς ἂν ἡ αὐτονομία τοῦ νοῦ βούλοιτο;

ΚΑΡΜΙΑΝΟΣ. *Συνορῶ·* [36] *ἀλλ' ἔχε αὐτόν, κἂν μὴ τοῦτο, θαύματα γοῦν ἐργάζεσθαι πανταχοῦ ἐξαίσιά τε καὶ θεῖα, ἵνα τὴν ἑαυτοῦ φυσικὴν θεότητα καὶ τοῦ παντὸς κυριαρχίαν πιστῶται καὶ μὴ λήθην τῆς ἑαυτοῦ βασιλείας τῷ χρόνῳ ὑφίστασθαι τοὺς ἀνθρώπους ἐᾶν.*

ΒΡΥΕΝΝΙΟΣ. *Καὶ ποῖον εἶδος θαυμάτων κατέλιπεν, ὥστε μὴ δι' ἑαυτοῦ καὶ τῶν οἰκείων δούλων ἐργάσασθαι, οὐκ ἐν παραβύστῳ καὶ γωνίᾳ ἀλλ' ἐν μέσαις ταῖς πόλεσι· τοσαῦτα δ' εἰσὶ τῷ πλήθει καὶ τῷ μεγέθει, ὡς πάντα νοῦν ὑπερβαίνειν μὴ δυναμένου παραστῆσαι τὸ ποικίλον αὐτῶν καὶ τὸ ποσὸν καὶ παράδοξον* [1].

ΙΣΜΑΗΛ. *Ὡς ἀναγκαῖα φής, οὐκ ἀρνήσομαι· διὰ γὰρ θαυμάτων τὴν οἰκουμένην οἰκειώσασθαι τὸν Ἰησοῦν μεμαθήκαμεν* [2]. [37] *πλὴν ἔδει αὐτὸν ἐν τῇ ἐνσάρκῳ οἰκονομίᾳ τὸν Ἀδὰμ παγγενῆ ἀνασώσασθαι καὶ μὴ τοῖς μὲν εὐεργέτης φανῆναι χρηστός, τοῖς δὲ κριτὴς ὀφθῆναι ἀπότομος, ἤγουν τοὺς μὲν προτεθνηκότας τῶν ἀνθρώπων ἀναστῆσαι, τοὺς δὲ ζῶντας ἢ μέλλοντας γεννηθῆναι οὐκ ἀποθνήσκειν πάλιν ἀφεῖναι ὡς τοὺς πρὸ αὐτοῦ ἀλλ' εὐθὺς ἀφθαρτίσαι· ἐπ' ἴσης γὰρ ἐνηνθρώπησεν ὑπὲρ πάντων καὶ τέθνηκεν.*

ΙΩΣΗΦ. *Τοῦτο ὁ θεῖος, ὡς λέγεις, κατώρθωσε Λόγος ἐνανθρωπήσας. τοὺς γὰρ προτετελευτηκότας, τοὺς ζῶντας καὶ τοὺς γεννηθῆναι μέλλοντας, ὅσον τὸ εἰς αὐτόν, ἅπαντας ἀφθαρτίσας διέσωσε, τοὺς μὲν ταῖς θείαις θαυματουργίαις καὶ ταῖς ὑπὲρ λόγον διδασκαλίαις, τοὺς ζῶντας, παρὼν πρὸς παρόντας καὶ διαλεγόμενος καὶ θαυματουργῶν, τοὺς δὲ τῇ προδρομικῇ φωνῇ καὶ τῇ ἑαυτοῦ εἰς ᾅδου καθόδῳ, τοὺς προθανόντας, τοὺς δὲ ταῖς τῶν μαθητῶν αὐτοῦ διατάξεσι καὶ τερατουργίαις, προσέτι δὲ καὶ ταῖς τῶν κατὰ καιροὺς διδασκάλων ἀλληλοδιαδόχοις διδασκαλίαις, τοὺς διεσπαρμένους εἰς πᾶσαν τὴν γῆν καὶ εἰς τὸ ἑξῆς γεννηθησομένους. εἰ δέ τινες αὐτὸν οὐκ ἐδέξαντο ἢ οὐ θέλουσιν ἔτι ἀφθαρτισθῆναι, ἀφ' ἑαυτῶν τὴν σωτηρίαν ἀπώσαντο καὶ δεδικαίωται ὁ θεός.*

---

369 *εἶναι* ἐπαναλαμβ. B   369 - 370 *τοὺς τὸν θεὸν* ΠΚ   375 *πιστοῦται* B   377 *μὴ* ἐπαναλαμβ. B   379 *τοσαῦται* ΠΚΒ

---

1. Ἐπ' αὐτοῦ βλ. κυρίως Ἰωάννου τοῦ Καντακουζηνοῦ, Ἀπολογίαι, PG 154, 417 C - 433 A, 460 - 469, 485 C - D, 500 A - 508 A, 508 D - 520 C καὶ κώδικα 268 τῆς Μονῆς Διονυσίου (Ἄθω).

2. Τὸ Κοράνιον ὁμιλεῖ ὄντως περὶ θαυμάτων τοῦ Χριστοῦ, ἅτινα ὅμως ἐδανείσθη ἀπὸ τῶν ἀποκρύφων κυρίως εὐαγγελίων (3 : 4, 43, 5 : 109, 110, 112 - 115, 19 : 24 - 34). Ἡ μεταγενεστέρα παράδοσις ἔδωκε περισσοτέρας λεπτομερείας (βλ. M. Hayek, ἔνθ' ἀν., καὶ D. Sidersky, Les origines des légendes musulmanes dans le Coran et dans les vies des prophètes, Paris 1933, σσ. 145 - 148).

[38] ΑΠΙΣΤΟΣ. *Καὶ τί δήποτε μὴ καὶ ἄκοντας τούτους εἰς τὴν ἑαυτοῦ χάριν ἤγαγεν, ἀλλ' εἶξε τῷ ἐκείνων αὐτεξουσίῳ;*

ΟΡΘΟΔΟΞΟΣ. *Ἵνα μὴ πᾶσα δικαιοσύνη τοῦ θείου ἀπελαθῇ κριτηρίου, ὅτι ἐπ' ἴσης δικαίοις ἑκοῦσι καὶ ἁμαρτωλοὶ ἄκοντες σῴζονται. ἐδήλου δὲ μετὰ πολλῶν ἄλλων ἀτόπων τοῦτο πραχθὲν ὅτι τὸ αὐτεξούσιον ἐξ ἀρχῆς οὐ καλῶς δέδοται τῷ ἀνθρώπῳ καί γε τυραννίς, οὐκ ἀρετή, τοῖς πλείοσι προὐξένει τὴν σωτηρίαν· οὔπω δὲ τύραννος ὁ θεός, ἄπαγε.*

[39] ΑΣΕΒΗΣ. *Ἀλλὰ συμφέρον, ἀκόλουθον καὶ θεοπρεπὲς τοῦ δικαίου, κἂν εἰ καὶ μὴ τοὺς ἁμαρτωλοὺς ἀναστῆσαι τότε ἐν τῇ αὐτοῦ ἀναστάσει, τὰς ψυχάς φημι μετὰ τῶν σωμάτων, καὶ καθ' ἑκάστην οὕτω τοὺς κοιμωμένους τῶν ἁγίων αὐτοῦ ἀνιστᾶν καὶ μὴ ἐᾶν τὰ τούτων σώματα διαλύεσθαι, ὡς καὶ τῶν πρὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ γεννηθέντων.*

ΕΥΣΕΒΗΣ. *Ἀλλ' οὔπω τῆς ἀναστάσεως πάρεστιν ὁ καιρός, ἧς ἀνάγκη τὴν κοινὴν συντέλειαν χρὴ προηγήσασθαι. χωρὶς δέ του, εἴπερ ἀνίσταντο οἱ κατὰ καιροὺς διαφόρους καὶ τόπους τελευτῶντες ἅγιοι, ἐχρῆν αὐτοὺς ἢ σὺν ἡμῖν ἢ καθ' ἑαυτοὺς διάγειν. ἀλλὰ τὸ μὲν σὺν ἡμῖν περιττόν τε καὶ ἀπρεπές. περιττὸν μέν, τίς γὰρ χρεία τούτοις ἔτι τῆς μεθ' ἡμῶν συνδιαγωγῆς μετὰ τὴν ἀνάστασιν; ἀπρεπὲς δὲ καὶ πάντῃ ἀνάρμοστον εἶναι τοὺς ζῶντας σὺν τοῖς νεκροῖς καὶ τοὺς ἀπολυθέντας ἀναστρέφεσθαι μετὰ τῶν δεσμίων· οὕτω γοῦν οὐχ οἷόν τε σὺν ἡμῖν αὐτοὺς εἶναι. εἰ δὲ καθ' ἑαυτούς, πολλὴ ἂν ἡ πλάνη ἐγίνετο· οὐδὲ γὰρ ἠδυνάμεθα γινώσκειν ποῖοι ἀληθῶς ἠφθαρτίσθησαν, ἄλλων ἀλλαχόσε καὶ ἄλλοτε ἀφθαρτιζομένων. πολλοὶ δὲ δόξης ἕνεκεν ἑαυτοὺς κρύψαντες διεχειρίσαντο ἵν', ὡς δῆθεν δίκαιοι, δόξωσι μετάστασιν ὑπομεῖναι καὶ ἀθανασίαν ἐνδύσασθαι, καὶ οἱ ἐπιγινόμενοι δίκαιοι τὰ μέγιστα ἀδικεῖσθαι ἐδόκουν. τῶν τε ἁμαρτωλῶν ἡ ἀνάστασις, ἡ κοινὴ λεγομένη, τῆς τῶν δικαίων γινομένης καθ' ὥραν καὶ ὁρωμένης, ἐκείνη μηδαμοῦ βλεπομένη πάντῃ ἀπήλπιστο, οἵ τε δαίμονες, τὰς τῶν πολλῶν μορφὰς ὑποκρινόμενοι τοῖς ἐκείνων γνωρίμοις, τοὺς πολλοὺς ἢ καὶ πάντας ἠπάτησαν, καὶ πάνθ' ἁπλῶς ἄνω καὶ κάτω γέγονεν τὰ ἡμέτερα.*

[40] ΠΛΑΝΟΣ. *Καὶ πῶς ἢ πόθεν ἐστὶ δίκαιον, ἵνα οἱ δίκαιοι ὡς οἱ ἁμαρτωλοὶ καὶ τοῖς ἀπίστοις ἐπ' ἴσης ἀποθνήσκωσιν οἱ πιστοί;*

ΑΛΗΘΗΣ. *Ὅτι οὐ φύσει πιστοὶ καὶ δίκαιοι καὶ ἅγιοι γίνονται, ἵνα καὶ τὸν θάνατον τῇ φύσει διαφέροντα τοῖς ἁμαρτωλοῖς ὑποστῶσιν, ἀλλὰ προαιρέσει. ἡ αὐτὴ γοῦν φύσις τὰ αὐτά, ἅτε παθητή, πάθη φέρουσα, ξένον οὐδὲν πάσχειν δόξει παρὰ κριταῖς τὸν νοῦν ὑγιαίνουσιν.*

[41] ΑΧΑΙΜΕΝΙΔΗΣ. *Τί οὖν, καὶ πάντας τοὺς ἑαυτοῦ τούτων οὐχ ἥκιστα τοὺς οἰκειοτάτους θλίβεσθαι καὶ πάσχειν μυρία ἀφίησι;*

ΧΡΙΣΤΙΑΝΟΣ. *Ὅτι ἄνευ πόνων οὐδὲν τελεῖται χρηστὸν καὶ δίχα ἀθλήσεως οὐδεὶς στεφανοῦται· καὶ αὐτὸς δὲ οὕτω τὸν βίον διήνυσε καὶ οἱ αὐτοῦ πάντες τοῦτο*

---

399 εἴξει B 418-419 ἀφθαρτιζομένους B 420 δόξωσοι B 432 ἑαυτοὺς B

αἰτοῦσιν ἀεί, δεόμενοι κακοπαθεῖν ὧδε, ἵνα ἐκεῖ ἀναπαύσωνται· ἄλλως γὰρ σωθῆναι ἀμήχανον.

ΤΑΛΑΣΙΜΑΝΗΣ· *Τούτοις μὲν συντίθημι.* [42] *διατί δὲ μὴ τοῦ Μωάμεθ τὴν ἔλευσιν ἐνεπόδισεν ὁ Χριστός; ἐλθὼν γὰρ οὗτος, σχεδὸν τὴν πίστιν ὑμῶν ἀνέτρεψε.*

ΜΟΝΑΧΟΣ. *Οὐδαμῶς· ἀλλὰ ταῦτα πάντα συμπίπτει τῷ τὴν συντέλειαν ἐγγίζειν καὶ τὴν τοῦ ἀντιχρίστου πρὸ ταύτης ἔφοδον, οὗ πρόδρομος οὗτος ἦν* [1]. [43] *ἔτι δ' ἔχονται τῆς εἰς Χριστὸν πίστεως τῶν ἡμῖν ἐγνωσμένων ἐθνῶν 'Ινδοὶ καὶ Αἰθίοπες, οἳ τοσοῦτοί εἰσι τῷ πλήθει, ὡς μόνοι παραβάλλεσθαι πρὸς τὴν λοιπὴν οἰκουμένην· οὐ μόνον δ' ἐκεῖνοι, ἀλλὰ καὶ σὺν αὐτοῖς 'Ρωμαῖοι, Μέλχοι, Χαλδαῖοι, Σύροι καὶ μέρος Περσῶν, 'Αρμένιοι, 'Ἴβηρες, Κόλχοι, 'Αλανοί, 'Αβασγοί, Γότθοι, Βούλγαροι, Τριβαλοί, Βλάχοι, 'Ιλλυριοὶ καὶ 'Αλβανῖται, 'Ρῶσοι, Σάσοι, Οὖνοι καὶ Γερμανοί, Λογγιβάρδοι, Τουδέσκοι, Σπανοί, Γαλάται, πάντες οἱ τὰς βρεταννικὰς νήσους οἰκοῦντες καὶ 'Ιταλοὶ καὶ ἕτεροι, τρία δὲ μόνα ἔθνη, ἀλογίᾳ συζῶντα καὶ πρότερον, κατὰ κράτος ἐκείνῳ δεδούλωται, Σαρρακηνοί, 'Ισμαηλῖται καὶ Σκύθαι, ἃ καὶ φθαρήσεται πρὸς θεοῦ, ὡς καὶ πάντες οἱ ἀντάρται τῆς πίστεως· τῆς δὲ Χριστοῦ βασιλείας οὐκ ἔσται τέλος* [2].

[44] ΚΑΡΜΙΑΝΟΣ. *Καὶ πῶς εἰς μὲν τἄλλα τῶν γενῶν οὐκ ἔστι συντέλεια, εἰς δὲ τὸ τῶν 'Ρωμαίων γένος καὶ μόνον; τοῦτο γὰρ καὶ θεηλάτους ὑμᾶς εἶναι καὶ σφόδρα γε ἀποστόργους παρὰ πάντα τὰ ἔθνη κατηγορεῖ* [3].

---

442 *δὲ* Β   443 *παραβαλλέσθαι* Π   445 *ἀβαυγοὶ* Κ   446 *τριβελοὶ* Κ   *βάλχοι* Β   *ἰλυριοὶ* ΠΚΒ   448 - 449 *ἔθνη μόνον* Β   449 *ἐκεῖνο* ΠΚ   449 - 450 *σαρακηνοὶ* Β   454 *γε παραλ.* ΠΚ

---

1. 'Από τοῦ εἰς τὸν 'Ιωάννην τὸν Δαμασκηνὸν ἀποδιδομένου κειμένου ἡ γνώμη αὕτη ἐπικρατεῖ καθ' ὅλην τὴν βυζαντινὴν καὶ μεταβυζαντινὴν περίοδον. Βλ. καὶ σ. 169, σημ. 1. Διὰ τὴν μεταβυζαντινὴν περίοδον βλ. π.χ. 'Αναστασίου τοῦ Γορδίου, Κατὰ Μωάμεθ καὶ κατὰ Λατίνων..., κῶδιξ 443 'Εθν. Βιβλ. 'Αθηνῶν, σ. 37 κἑξ. καὶ κώδικα 110 ('Ανωνύμου) τῆς Μονῆς Παντελεήμονος ("Αθω), φ. 269β.

2. 'Ο Καντακουζηνὸς λέγει (PG 154, 504 A - 508 A) ὅτι οἱ μὴ πιστεύοντες εἰς τὸν Χριστὸν ('Εβραῖοι, 'Ισμαηλῖται) εἶναι ὡς μία δρὰξ ἐνώπιον τοῦ ὠκεανοῦ τῶν χριστιανῶν καὶ ὡς ὁ τυφλὸς ἔμπροσθεν τοῦ ἡλίου.

3. Τὸ πρόβλημα τῶν δυστυχιῶν τῶν χριστιανῶν ἀφ' ἑνός, τῶν ἐπιτυχιῶν τῶν μωαμεθανῶν ἀφ' ἑτέρου ἀπησχόλησεν ἀείποτε τὴν συνείδησιν καὶ τὴν σκέψιν ἀμφοτέρων. Αἱ ἀπαντήσεις εἶναι ἑκάστοτε διάφοροι, ἐμπνέονται ὅμως πάντοτε ὑπὸ τῆς αὐτῆς ἰουδαϊκῆς (προφητικῆς) καὶ χριστιανικῆς (θεοκρατικῆς) περὶ ἱστορίας ἀντιλήψεως. Βλ. 'Αβουκάρα, Διάλογοι, PG 97, 1548 A - 1552 C. Νικήτα τοῦ Βυζαντίου, 'Ανατροπή..., PG 105, 745 A - B. 'Αρέθα, 'Επιστολή..., μτφρ. A. Abel, σσ. 300 - 301. Γρηγορίου τοῦ Παλαμᾶ, 'Επιστολή..., ΔΙΕΕ Γ' (1889), 232 - 233. Ριχάρδου, Confutatio..., PG 154, 1092 B - C. 'Ιωάννου τοῦ Καντακουζηνοῦ, Λόγοι, PG 154, 637 C - 652 A. Μανουὴλ Β' Παλαιολόγου, Διαλέξεις, ἔκδ. E. Trapp, σσ. 56 - 65. Cod. Vaticanus Graecus ('Ανωνύμου), φφ. 168 - 199.

4 - 7 - 1967

ΒΡΥΕΝΝΙΟΣ. *Ὅτι οὐδὲν τὴν μέσην ἔλαχε χώραν ὡς τοῦτο*[1]*, οὐδὲ φθονουμένην πρὸς τῶν δαιμόνων οὕτω πίστιν ἐκτήσατο καὶ ὅτι πάντα τὰ τοῦ προσκαίρου αἰῶνος ὡς ὄναρ παρέρχεται, εἰ καὶ δοκεῖ ἄλλο ἄλλου μονιμώτερον εἶναι ἢ ἰσχυρότερον ἢ κατὰ δόξαν διαφέρον ἢ πλῆθος ἤ τι τῶν ὅσα τῆς ῥευστῆς ἐστι φύσεως. ὡς οὖν ἀφ' ἑνὸς ἑκάστου τῶν καθ' ἡμᾶς ἐλαχίστων ἀνθρώπων καὶ εὐτελῶν χωρίων καὶ λαῶν ἀνωνύμων δι' ὀλιγότητα γινόμενον ἔστιν ἰδεῖν, ὅτι ὁ σήμερον ζῶν καὶ φαινόμενος καὶ δοκῶν εἶναί τις διὰ κουφότητα αὔριον ἄπεστιν οὐδὲ σκιὰν τῆς ἑαυτοῦ ἐμφανίας καταλιπών, καὶ ἐνταῦθα ὅπου ἡ δεῖνα ἔκειτο κώμη οὐδ' ἴχνος μιᾶς οἰκίας ἐγκαταλέλειπται καὶ ἥδε φυλή, ἡ κατὰ πλῆθος ἐγκαυχωμένη, ἠφάνισται, οὕτω καὶ ὁ μέγιστος βασιλεὺς ἐν ἀνθρώποις καὶ ἡ πολυάνθρωπος πόλις καὶ τὸ ἄπειρον ἔθνος, κἂν δοκῇ μονιμωτέρως ἐπιπολάζειν τῷ βίῳ, ἀλλ' οὖν τέλος ὑφίσταται τέως ἢ ἀπεκδέχεται, κἂν τῷ πλήθει ἢ τῷ μεγέθει ἢ τῇ ἰσχύϊ δόξῃ τῶν λοιπῶν ὑπεραίρειν τῶν ἐν τῇ γῇ. εἰδεμή, ποῦ Κῦρος, ποῦ Δαρεῖος, ποῦ Ἀλέξανδρος, ποῦ Καῖσαρ, ποῦ Ξέρξης ἐν βασιλεῦσιν, ἢ ποῦ Νινευΐ, Σοῦσα, Ἐκβάτανα, Βαβυλών, Ἀντιόχεια, ἄλλαι μυρίαι ἐν πόλεσιν, ὧν οὐδὲ τὰ ὀνόματα ἴσμεν οἱ πλείους; ποῦ Μασαγέται καὶ Μῆδοι καὶ Πάρθοι καὶ Ἐλαμῖται καὶ Βαβυλώνιοι ἐν τοῖς ἔθνεσιν; ὥστε μὴ καυχάσθω τις ἐν πλήθει γένους καὶ τυράννων ἰσχύϊ καὶ πόλεων μεγέθει, τῶν νῦν ὄντων καὶ μετ' ὀλίγον οὐκ ἐσομένων. εἶτα, τὸ μὲν ἡμέτερον γένος διεσπάρη μόνον, οὐ μὴν ἀπώλετο, τὰ δὲ προρρηθέντα καὶ ἄλλα γένη μυρία πανωλεθρίαν ὑπέμεινεν*[2].

[45] ΙΣΜΑΗΛ. *Τί ἐστιν ὃ πρὸ μικροῦ ἀπεφήνω, ὅτι οὐδὲν φθονουμένην οὕτω πρὸς τῶν δαιμόνων πίστιν ἐκτήσατο;*

ΙΩΣΗΦ. *Ἀληθῶς τοῦτο ἔφην, ἐπεὶ πάντα τὰ προειρημένα ἔθνη πιστεύει μὲν εἰς Χριστόν, οὐ τοσοῦτον δὲ τῶν καλῶν ἐπιμέλεται, τὸ δ' ἡμέτερον ὑπὲρ πάντα καὶ νηστείας καὶ ἁγνείας, ἀγρυπνίας τε καὶ προσευχῆς καὶ τῶν τοιούτων ἐπιμελεῖται, ἐξ ὧν οἱ δαίμονες πρὸς φθόνον ἐρεθιζόμενοι, ἔθνη τὰ τοὺς πολέμους θέλοντα κατ' αὐτοῦ ἐπεγείρουσι. καὶ ἔοικε τοῦτο τὸ γένος δένδρῳ μεγάλῳ καὶ ὑψηλῷ ποικίλοις μὲν ἄνθεσι κομῶντι καὶ παντοίοις καρποῖς βρίθοντι, ὑπὸ*

---

470 - 471 Πράξ. 2,9.

---

455 *ἔλαβε* ΠΚ 460 *γενόμενον* Κ 463 *ἡ δε* Π 464 *καὶ οὕτω καὶ* Κ 465 *δοκεῖ* ΠΚ 467 *δόξει* Κ 473 *ὤλετο* Β 478 *τοσούτων* Κ *ἐπιμέληται* Κ *δὲ* ΠΚ 479 *ἀγρυπνίας ἁγνείας τε* Κ *προσευχὰς* ΠΚ

---

1. Ἐνδιαφέρουσαν ἀνάπτυξιν τῆς ἱστορικῆς αὐτῆς ἑρμηνείας βλ. εἰς τὰς συγκινητικὰς σελίδας Ἀναστασίου τοῦ Γορδίου, ἔνθ' ἀνωτ., σσ. 233 - 235.

2. Αἱ ἐπὶ τοῦ προκειμένου σκέψεις Μανουὴλ Β' Παλαιολόγου, Διαλέξεις, ἔκδ. E. Trapp, σσ. 59 - 65, παρουσιάζουν ὁμοιότητας μὲ τὰς τοῦ Βρυεννίου μέχρι καὶ τῶν φράσεων καὶ τῶν ὀνομάτων.

δὲ πάντων θηρίων τῆς γῆς καὶ πετεινῶν τοῦ οὐρανοῦ διὰ ταῦτα πολεμουμένῳ.

[46] ΑΠΙΣΤΟΣ. *'Αλλ' ἴσμεν ὅτι ὃν ὁ Θεὸς ἀγαπᾷ, εὐεργετεῖ τοῦτον, πληθύνει, τιμᾷ, ὃν δ' ἀποστρέφεται καὶ μισεῖ, ζημιοῖ, ἐλαττοῖ, καταισχύνει. ὁρῶμεν οὖν τὸ τήμερον ὅτι τὸ Ἰσμαηλιτῶν γένος, καὶ εἴ τι ἄλλο τῷ τοῦ Μωάμεθ νόμῳ στοιχεῖ, εὐπραγεῖ, εὐημερεῖ, εὐτυχεῖ, ὑμεῖς δέ, τὸ τῶν χριστιανῶν ἔθνος, πάντα πάσχετε τἀναντία· ὅθεν ἔστιν οὐ τεκμαίρεσθαι, ἀλλ' ἐναργῶς πιστεύειν, ὅτι κρείττων ἡ εἰς τὸν Προφήτην πίστις τῆς εἰς τὸν Χριστὸν πίστεως· διὰ γὰρ τοῦτο καὶ παρὰ θεοῦ δοξάζεται πᾶς ὁ ταύτης ἐχόμενος.*

[47] ΟΡΘΟΔΟΞΟΣ. *Ὡς ἔοικεν, ἢ οὐκ οἶσθα τίσι τὸ θεῖον ἀρέσκεται καὶ τίσι πρὸς τῶν ἀνθρώπων εὐαρεστούμενον ἀμοιβὰς τῆς εὐαρεστήσεως δίδωσιν, ἢ ἐπιστάμενος τοῦτο σεαυτὸν ἀπατᾷς.*

ΑΣΕΒΗΣ. *Καὶ τίσι τὸ θεῖον εὐαρεστεῖται λοιπόν;*

ΕΥΣΕΒΗΣ. *'Αρεταῖς.*

ΠΛΑΝΟΣ. *Ποίαις;*

ΑΛΗΘΗΣ. *'Αγάπῃ, καθαρότητι, ταπεινώσει καὶ ταῖς ἑπομέναις αὐταῖς·* [48] *ἐκ δὲ τῶν εὐπραγιῶν καὶ τῆς εὐημερίας, ἧς ἔφης, οὐδεμία τῶν ἀρετῶν τούτων τίκτεται, ἀλλὰ πᾶσαι αἱ ἀντικείμεναι ταύταις κακίαι, ἤγουν μάχαι, ἀσέλγειαι, ἀλαζονεῖαι καὶ ὅσαι ταύταις παρέπονται· ὅθεν τὸ εὐτυχοῦν καὶ εὐπραγοῦν τουτὶ γένος ἀρρενομανίαις καὶ ζῳοφθορίαις καὶ αἱμάτων ἐκχύσεσιν ἀνθρωπίνων διὰ παντὸς χραίνεται, καὶ τὸ χεῖρον εἰς ἀλογίας καὶ ὠμότητος λόγον, ὅτι ταῦτα καὶ χείρονα πρᾶττον οὐδὲν ἀπηνὲς οὐδὲ παράλογον δοκεῖ διαπράττεσθαι, ἀλλὰ καὶ τὸ θεῖον συνεργὸν ἔχειν εἰς ταῦτα καὶ εὐδοκοῦν οἴεται. κλέπτει γὰρ αὐτοὺς ἡ κατὰ τὸν βίον ῥαστώνη καὶ τὸ ἑαυτῶν συνειδὸς ἀναπείθει παραλογίζεσθαι καὶ εἰς λήθην ἰέναι τῆς οἰκείας φαυλότητος, νομίζοντας ἑαυτοὺς κεχαρισμένους εἶναι θεῷ. ἆρα οὐχὶ φρῖξαι πρὸς ταῦτ' ἐστὶ καὶ συσταλῆναι τὸν αἴσθησιν ἔχοντα; ἐλαλήθη τοῦτο ἢ νενόμισται πρός τινος ἄλλου, ὅτι τοὺς τὰ τοιαῦτα ποιοῦντας εὐεργεσίαις τὸ θεῖον ἀμείβεται; διὰ γὰρ τοῦτο, φησί, καὶ παρὰ θεοῦ δοξάζεται πᾶς ὁ ταύτης ἐχόμενος. ὡς ἀπόλοιτο ἡ τοιαύτη δόξα καὶ ὁ ταύτης αἴτιος δαίμων καὶ οἱ δοκοῦντες αὐτὴν τὸν θεὸν ἔχειν αἴτιον! αὕτη ἐστὶν ἡ παρὰ θεοῦ τῆς εἰς τὸν Μωάμεθ πίστεως ἀντάμειψις, τρυφή, βλακεία καὶ μέθη καὶ ἄνεσις καὶ τὰ τούτοις ἑπόμενα; καὶ μὴν ὁρῶμεν διὰ ταῦτα κατακλυσμῷ τοὺς γίγαντας ἀφανισθέντας καὶ τοὺς σοδομίτας πυρὶ καὶ θείῳ κατακλυσθέντας καὶ τοὺς Ἰσραηλίτας ὑπὸ ὄφεων ἐν τῇ ἐρήμῳ καταστρωθέντας.* [49] *δοξάζει ὁ θεὸς τοὺς αὐτοῦ, ἀλλὰ χαρίσμασιν, ἐλλάμψεσι, θαύμασι, καὶ πρὸς τούτοις, δόξῃ ἀφθάρτῳ καὶ αἰωνίῳ· αὕτη δ' ἐστὶ τὸ διὰ παντὸς ἐκείνῳ συνεῖναι καὶ κατατρυφᾶν τῆς αὐτοῦ καλλονῆς καὶ λαμπρότητος καὶ ἀπολαύειν ὧν ἡτοίμασεν ἀγα-*

---

486 *τοῦτο τήμερον* Κ *τὸ τῆ, ὅτι* Π 498 *οὐδὲ μία* Π *οὐδὲ μιᾷ* Κ 499 *ταύται* Κ 500 *ταύτης* Β 506 *νομίζονται* ΠΚ 508 *τὰ παραλ.* ΠΚ 510 *ἀπόλλυτο* ΠΚΒ 512 *καὶ*[1] *παραλ.* Κ 516 *δόξα* Π

θῶν οὐρανίων τοῖς ἀγαπῶσιν αὐτόν, ὡς τά γε πρόσκαιρα ταυτὶ ἀγαθὰ φλυαρία τις ἔοικεν εἶναι καὶ λῆρος καὶ ὄνειρος.

[50] ΑΧΑΙΜΕΝΙΔΗΣ. *Οὐκοῦν ἐκείνους ἀληθῶς εὐσεβεῖς καὶ κεχαρισμένους τῷ θεῷ νομιοῦμεν, οἷς ἐν δυσχερείας καὶ θλίψεσιν ὁ βίος ἀνύεται;*

ΧΡΙΣΤΙΑΝΟΣ. *Καὶ μάλα, ἐπεὶ πάντως κρεῖττον ἡμέραν μίαν τινὰ πιεσθέντα θλίψεσιν ἐν ἀνέσει τὸν ἅπαντα βίον διαγαγεῖν ἢ κατὰ τὸ πρόχειρον ἀνέσεως ἀπολελαυκότα τὸ ἑξῆς ἅπαν τοῦ βίου κολάζεσθαι. καὶ ἐξέτασον ἑκάστου τῶν ἀπ᾿ αἰῶνος τῷ Θεῷ εὐαρεστησάντων τὸν βίον καὶ εὑρήσεις πάντας ἐν δυσχερείαις τοῦτον ἀνύσαντας· οὕτως οἱ πρὸ τοῦ κατακλυσμοῦ καὶ μετὰ τὸν κατακλυσμόν, οὕτως οἱ πρὸ τοῦ νόμου καὶ μετὰ τὸν νόμον καὶ ἑνὶ λόγῳ οἱ ἀπὸ Ἀδὰμ μέχρι σοῦ πατριάρχαι, προφῆται καὶ δίκαιοι οὕτως ἔζησαν. καὶ οὐ τὸ νῦν εἶναι μόνον οὕτω θεὸς τὰ τῆς σωτηρίας ἡμῖν πραγματεύεται, ἀλλὰ καὶ ἐπὶ τῆς πάλαι νομοθεσίας· μυρίαις τὸ Ἑβραίων γένος, ὃ ἐπίλεκτον τηνικάδε ἐτέλει θεῷ, ὡμίλει θεῷ ταῖς περιστάσεσι, νῦν μὲν γὰρ αἰγυπτίοις ὑπεῖκε δουλεῦον, οἳ καὶ ἀπηνέστατα αὐτῷ προσεφέροντο τῇ βαρύτητι τῶν ἔργων, μέχρι καὶ αὐτοῦ θανάτου καταπιέζοντες, νῦν δὲ παμπληθεὶ εἰς Βαβυλῶνα ἀπήγετο καὶ δουλείαν χαλεπωτάτην ὑπέμεινεν, εἶτ᾿ αὖθις ὑπὸ Ἀντιόχου τὰ ἀνήκεστα πέπονθεν, ἵνα μὴ τὰ γειτονοῦντα λέγω τῶν ἐθνῶν, οἳ οὐδὲ ἀναπνεῖν αὐτῷ συνεχώρουν, συνεχῶς ἐπιτιθέμενοι καὶ τὰ χαλεπώτατα δρῶντες. τί οὖν; ἀποφήναιτ᾿ ἄν τις καὶ τοῦτο μεμισεῖσθαι παρὰ θεῷ καὶ τοῖς ἀλλοφύλοις εἰς ἐπήρειαν παραδιδόσθαι, στέργεσθαι μέντοι τοὺς ἀλλοφύλους τοὺς σεβομένους τὸν Βὴλ καὶ τὴν Ἀστάρτην καὶ τὸν κροκόδειλον; ἀλλ᾿ οὐκ ἐντεῦθεν δεῖ τεκμαίρεσθαι τὴν τοῦ θεοῦ πρὸς ἀνθρώπους εὐμένειαν ἢ ἀπέχθειαν οὔτε τὴν ἀνθρώπων εἰς αὐτὸν εὐσέβειαν ἢ δυσσέβειαν οὔτε αὖ τὴν ἀρετὴν ἢ τὴν κακίαν. εἰδέναι δέ σε καὶ τοῦτο χρεών, ὅτι ὃν τρόπον ὑμεῖς καυχᾶσθε νῦν ἐπὶ πλήθει καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ καθ᾿ ἡμῶν χωροῦντες μέγα ἐπὶ τούτῳ φρονεῖτε καὶ ἐναβρύνεσθε, τὸν αὐτόν ποτε τρόπον Χαναναῖοι, Αἰγύπτιοι καὶ Χαλδαῖοι καὶ πάντες ἀλλόφυλοι τοὺς ἐπιλέκτους τῶν Ἰουδαίων καταδουλοῦντες, ἐλοιδόρουν, ἔβαλλον σκώμμασι τὰ ἐκείνων διέσυρον πάντα, ἐχλεύαζον, ἐκερτόμουν, ἐτώθαζον· ἀλλ᾿ ἐκεῖνα μὲν τὰ ἄπειρα πλήθη ἐγένετο ὡσεὶ κόπρος τῇ γῇ, τῶν δὲ τὸ μνημόσυνον, ἕως ἂν ὁ κόσμος ἵσταται, λάμπον ὑπὲρ τὸν ἥλιον διαμένει, καὶ ἔτι εἰς τὸν τοῦ αἰῶνος αἰῶνα, τὸν ἀπέραντον ἐκεῖνον, διαμενεῖ.*

[51] ΤΑΛΑΣΙΜΑΝΗΣ. *Ἀλλ᾿ ἔστι τὸν τῷ θεῷ ἀγαπώμενον τῆς πίστεως ταύτης μόνης μισθὸν ἀπολαύοντα καὶ προσκαίρου πάσης καὶ αἰωνίου ἀπηλλάχθαι κολάσεως, καὶ προσκαίρου πάλιν ὑπὲρ τῆς πίστεως καὶ αἰωνίου ἀπολαύειν ἀνέσεως;*

ΜΟΝΑΧΟΣ. *Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· πάντα ταῦτα τῶν ἀδυνάτων ἐστίν. εἰ γὰρ*

---

527 - 528 *κατακλυσμοῦ... πρὸ τοῦ παραλ.* Π 528 *τοῦ παραλ* Κ 531 *ἑβραῖον* Π *θεῷ*[1] *παραλ.* Β 539 - 540 *κορκόδειλον* ΠΒ 542 *ὑμᾶς* Π *καυχᾶσθαι* ΠΚΒ 544 *ἐναμβρύνεσθαι* Π *ἐναμβρύνεσθε* ΚΒ 549 *εἰς τὸν αἰῶνος αἰῶνα* Π *εἰς τὸν αἰῶνα* Κ 552 *ἀπολαύονται* Π 554 *πάντη* Β

ἐνεδέχετο ταῦτα γίνεσθαι, οὐκ ἂν ὁ πιστεύσας ἐξ ὅλης τῆς ψυχῆς εἰς τὸν Θεὸν 'Αβραάμ, περὶ οὗ φησιν ἡ θεία Γραφή· «ἐπίστευσε δὲ 'Αβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην», τοσαύτας ἐν ἀλλοτρίῳ ὑπέστη κακοπαθείας, οὐκ ἂν ὁ τῷ θεῷ ἀγαπώμενος 'Ιακώβ, περὶ οὗ αὐτὸς δι' ἑαυτοῦ φησιν ὁ θεός· «τὸν 'Ιακὼβ ἠγάπησα, τὸν δὲ 'Ησαῦ ἐμίσησα», τοσαύτας θλίψεις ὑπέμεινεν, οὐκ ἂν τοσαῦτα ἔτη ὁ 'Ιὼβ ἐν τῇ κοπρίᾳ ἐκάθητο, περὶ οὗ πάλιν αὐτὸς εἶπεν ὁ θεὸς ὅτι «οὐκ ἔστιν ἄνθρωπος ὅμοιος αὐτῷ τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος», οὐκ ἂν ὁ Μωυσῆς ἔν τε Αἰγύπτῳ καὶ ἐν ἐρήμῳ τοσούτους ἔτλη κινδύνους, ᾧ ὁ θεὸς ἐλάλει ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον, ὃν καὶ πληροφορῶν ἔλεγεν· «οἶδά σε παρὰ πάντας καὶ χάριν ἔχεις παρ' ἐμοί», οὐκ ἂν ὁ θεῖος Δαβὶδ τοσαύταις περιστάσεσι συνεπλάκη, περὶ οὗ ἔφησεν ὁ θεός· «εὗρον Δαβὶδ τὸν τοῦ 'Ιεσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου», οὐκ ἂν 'Ηλίας καὶ 'Ησαΐας καὶ 'Ιερεμίας καὶ Δανιὴλ καὶ οἱ ἐν Βαβυλῶνι παῖδες τοσαύταις θλίψεσι περιέπεσον, οὐκ ἂν πάντες οἱ ἅγιοι, οἱ ἀληθῶς πιστοὶ καὶ ἠγαπημένοι θεῷ, πειραζόμενοι καὶ κινδυνεύοντες πολυτρόπως τὸν βίον τοῦτον διήνυσαν [1].

[52] ΚΑΡΜΙΑΝΟΣ. *Νῦν σοι πειράσομαι δεῖξαι ὅτι κἀνταῦθα μείζονος ἀπολαύσουσιν ἀνέσεως οἱ εἰς τὸν Προφήτην πιστεύοντες κἀκεῖσε πλείονος πάλιν ὑμῶν τῶν εἰς Χριστὸν πιστευόντων τῆς ἀναπαύσεως ἀπολαύσουσι.*

ΒΡΥΕΝΝΙΟΣ. *Εἰπὲ καὶ ἀκούσομαι.*

ΙΣΜΑΗΛ. *Περὶ μὲν τῆς ἐνθάδε αὐτῶν ἀπολαύσεως, φανερᾶς οὔσης, περιττὸν οἶμαι λέγειν,* [53] *περὶ δὲ τῆς μελλούσης, ὁ μέλλων κρῖναι πᾶσαν τὴν οἰκουμένην 'Ιησοῦς* [2] *ἀπεφήνατο εἰπών· «ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ*

---

556 - 557 Γέν. 15,6, 'Ρωμ. 4,3, Γαλ. 3,6, 'Ιακ. 2,23. 559 Μαλ. 1,2-3, 'Ρωμ. 9,13. 561 - 563 'Ιὼβ 1,8. 564 Ἔξ. 33,11. 565 Ἔξ. 33,12. 567 Πράξ. 13,22. 577 - 578 Πρβλ. Λουκ. 12,47-48.

---

555 *ἀναδέχετο* Π *τῆς παραλ.* Β 558 *ἑαυτοῦ* : *ἑκάστου* Π 564 *λαλήσῃ* Π 565 *ἐμοῦ* Π 569 *περιέπεσον* : *περιέσον* ΠΚΒ 576 *πᾶσαν κρίναι* Β

---

1. Οὕτως ὁ 'Ιωσὴφ Βρυέννιος κατορθώνει νὰ δώσῃ τὴν ἐκτενεστέραν, βαθυτέραν καὶ θεολογικωτέραν ἀνάπτυξιν τοῦ ζωτικοῦ αὐτοῦ θέματος. Τοῦτο βεβαίως ὀφείλεται εἰς τὴν γενικὴν ψυχολογικὴν κατάστασιν τῶν ἀνθρώπων τῆς τεταραγμένης ἐκείνης ἐποχῆς (πρβλ. τὰ σχετικὰ κείμενα τῶν 'Αρέθα καὶ Καντακουζηνοῦ γραφέντα εἰς ἄλλας ἐποχὰς καὶ ὑπὸ διαφορετικὰς συνθήκας) κυρίως ὅμως εἰς τὴν θεολογικὴν μόρφωσιν καὶ βαθύτητα τοῦ συγγραφέως. 'Οπωσδήποτε ὅμως τὸ μέρος τοῦτο τῆς Διαλέξεως εἶναι ἀσφαλῶς τὸ σπουδαιότερον, ἀποτελεῖ δὲ μίαν ἀπὸ τὰς ὡραιοτέρας σελίδας τῆς χριστιανικῆς κατὰ τοῦ 'Ισλὰμ ἀπολογητικῆς.

2. *«ὁ μέλλων κρῖναι τὴν Οἰκουμένην 'Ιησοῦς».* Τὸ Κοράνιον λακωνικὰς μόνον ἐνδείξεις παρέχει (43 : 57 - 65, 3 : 48, 4 : 157). Βλ. καὶ H. Michaud, ἔνθ' ἀνωτ.,

ποιήσας δαρήσεται πολλάς· ὁ δὲ μὴ γνοὺς μηδὲ ποιήσας δαρήσεται ὀλίγας»[1]. *τίς οὖν ἐστιν «ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ποιήσας»; πάντως ὑμεῖς οἱ χριστιανοί. καὶ τίς ἐστιν «ὁ μὴ γνοὺς τοῦτο μηδὲ ποιήσας»; πάντες οἱ τοῦ Προφήτου. τοίνυν, δαρήσεσθε ὑμεῖς, ἀλλὰ πολλάς, δαρήσονται κἀκεῖνοι, ἀλλ' ὀλίγας. ὥστε κἀνταῦθα κἀκεῖ ἐν ἀναπαύσει καθυπερτεροῦσιν ὑμῶν· διά τοι τοῦτο τῆς ἐκείνων μερίδος ἐγὼ ζηλωτής.*

ΙΩΣΗΦ. *Πρόσχες ὅτι αἱ συγκρίσεις πᾶσαι ἐπὶ τῶν ὁμογενῶν γίνονται*[2]· *ἀμέλει ὥσπερ οὐ συγκρίνομεν λίθον ξύλῳ, οὐδ' ἀλλότριον οἰκείῳ ἢ φίλον δούλῳ, οὕτως οὐδὲ δοῦλον ἐχθρῷ. πρῶτον οὖν αὐτοὺς τάξον μετὰ τῶν δούλων τοῦ ταῦτ' εἰρηκότος κυρίου καὶ τότε σύγκρινε δούλους πρὸς δούλους, ἤτοι ἡμᾶς πρὸς ἐκείνους, ὡς, ἕως ἂν ὦσιν ἐχθροὶ οὐχὶ δοῦλοι τοῦ ταῦτα νομοθετοῦντος,*

---

579 *θέλημα τοῦ παραλ.* ΠΚ 587 *τοῦ ταῦτ' : τοῦτ' αὐτὸ* Κ 588 *πρὸς παραλ.* ΠΚ *τοῦ ἐπαναλαμβ.* Π

σσ. 60 - 62 καὶ 84 - 87. Τοῦτο ἄφησεν ἐλευθέραν τὴν φαντασίαν τῆς παραδόσεως, ἥτις δίδει πλείστας ὅσας λεπτομερείας ἀναφερομένας εἰς τὸν ρόλον τοῦ Χριστοῦ κατὰ τὴν ἡμέραν ἢ πρὸ τῆς ἡμέρας τῆς Κρίσεως. Βλ. M. Hayek, ἔνθ' ἀνωτ., σσ. 241 - 271. Gaudefroy - Demombynes, Mahomet, Paris 1957, σσ. 433 - 434. Ὁ ρόλος αὐτὸς τοῦ Ἰησοῦ ὡς Κριτοῦ εἶναι, ἐν τῇ διδασκαλίᾳ Ἰσμαηλιτικῶν τινων αἱρέσεων, συνυφασμένος μὲ τὸν ρόλον τοῦ Mahdī. Βλ. E. Blochet, Le Messianisme dans l'hetérodoxie musulmane, Paris 1903.

1. Ἡ συνήθεια χρησιμοποιήσεως τῶν Γραφῶν πρὸς ἀναίρεσιν τῆς χριστιανικῆς διδασκαλίας εἶναι γενικὴ εἰς τοὺς μωαμεθανούς. Οὕτως ὁ μέγιστος τῶν θεολόγων Al - Ghâzâlî ἐπεχείρησε τὴν ἀναίρεσιν τῆς θεότητος τοῦ Χριστοῦ διὰ τῆς χρησιμοποιήσεως χωρίων τῆς Κ. Διαθήκης καὶ δὴ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου. (Al - Ghâzâlī, Réfutation excellente de la divinité de Jésus - Christ d'après les Evangiles, γαλλ. μετφ. R. Chidiac, Paris 1939). Ἡ ἐν τῷ ἡμετέρῳ κειμένῳ ὑπὸ τοῦ Ἰσμαηλίτου χρησιμοποίησις τοῦ Λουκ. 12, 47 - 48 εἶναι λίαν ἐπιτυχής. Ἄλλωστε ἡ ὅλη ἐπιχειρηματολογία τοῦ Ἰσμαὴλ παρουσιάζεται ἐνταῦθα λίαν ἐνδιαφέρουσα.

2. Ὁ χριστιανὸς παρουσιάζεται ἐνταῦθα διδάσκαλος τοῦ μωαμεθανοῦ. Τοῦτο εἶναι φαινόμενον σύνηθες καὶ ἐνδιαφέρον κατὰ τοὺς τρεῖς πρώτους κυρίως αἰῶνας τοῦ μωαμεθανισμοῦ. Οἱ « Διάλογοι » τοῦ Ἀβουκάρα ἀποτελοῦν ἀπὸ τῆς ἀπόψεως αὐτῆς μνημεῖα πολυτιμότατα, διότι μᾶς πληροφοροῦν πῶς οἱ μωαμεθανοὶ ἐγνώρισαν καὶ ἐνεστερνίσθησαν τὴν χριστιανικὴν θεολογικὴν σκέψιν καὶ τὴν ἑλληνικὴν προβληματικήν. Ὁ Θεόδωρος Ἀβουκάρας ζῇ καὶ γράφει εἰς ἐποχὴν κατὰ τὴν ὁποίαν αἱ πνευματικαὶ ἐπαφαὶ μεταξὺ τῶν δύο λαῶν καὶ θρησκειῶν εἶναι αἱ πλέον συνήθεις. (Βλ π.χ. PG 97, 1552 C - 1553 C, 1557 D - 1561 D, 1592 C - 1593 B, 1585 A - D, 1596 B - D, 1556 A - B, κλπ.). Ἀλλ' ὁ Βαρθολομαῖος ὑπερασπίζει τὴν γνωσιολογικὴν καὶ πνευματικὴν ἀνωτερότητα τῶν χριστιανῶν δι' ἐκφράσεων σκοπουσῶν εἰς τὴν ταπείνωσιν τῶν μωαμεθανῶν. Ἐξ ἄλλου ὁ Καντακουζηνὸς κατηγορεῖ τοὺς μωαμεθανοὺς ὡς *«νοῦ καὶ πάσης ἐπιστήμης ἀνεπιδέκτους»* (PG 154, 589 C). Πρόκειται βεβαίως πάντοτε περὶ διαφόρων ἐκφράσεων τοῦ συναισθήματος ἀνωτερότητος ὃ οἱ χριστιανοὶ ἔτρεφον ἔναντι τῶν « νομάδων » καὶ « βοσκηματωδῶν » μωαμεθανῶν. Τὸ τοιοῦτον συναίσθημα οὐδέποτε ἐσβέσθη εἰς τὰς συνειδήσεις των (βλ. καὶ σ. 176, σημ. 3).

οὔτε τοῖς ἐκείνου συνταγήσονται δούλοις οὔθ' ὁπωσοῦν τῇ συγκρίσει ταύτῃ ὑποπεσοῦνται· ὅτι δὲ ἄλλως παντὸς κυρίου δοῦλος παιδεύεται καὶ ἑτέρως ὁ ἐχθρὸς τοῦ αὐτοῦ μαστιγοῦται, παντί που δῆλον· ὁ μὲν γὰρ παιδείᾳ, ὁ δ' ἀφανισμῷ παραδίδοται.

[55] ΑΠΙΣΤΟΣ. *'Αλλ' ὡς διαγορεύουσιν αἱ ἡμέτεραι βίβλοι, ὑπὲρ αὐτῶν ὁ Προφήτης πρεσβεύσει τότε, δεόμενος 'Ιησοῦ, τοῦ τῶν νεκρῶν καὶ ζώντων κριτοῦ. ὁ δὲ πάντας αὐτῷ χαριεῖται καὶ οὐδεὶς αὐτῶν κολασθήσεται, ἐν ἀνέσει δὲ καὶ ἀπολαύσει παντὸς καλοῦ πάντες ἔσονται* [1].

ΟΡΘΟΔΟΞΟΣ. *Περὶ τούτου πρῶτον μὲν ἄκουσον σύ, τί περὶ μεσιτείας τῆς τότε διὰ προφητῶν ὁ θεὸς ἀποφαίνεται· «ἐὰν στῇ Νῶε καὶ Μωυσῆς καὶ Δανιήλ, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας οὐ μὴ ἐξελῶνται καὶ ἀδελφὸς οὐ λυτροῦται», λυτρώσεται ἄνθρωπος; ἔπειτα δὲ διακρίνωμεν ἄμφω· τίς ἐστιν ὁ τὸν τότε εἰς κρίσιν καθήμενον κύριον δυσωπήσων; ὁ ἀντινομοθετήσας αὐτῷ εἰς πάντα; ὁ φρονήσας τούτῳ ὑπεναντίως καὶ ὁ τοσούτων ἐθνῶν εἰς ἀποστασίαν ἡγησάμενος; καὶ ὑπὲρ τίνων; ὑπὲρ τῶν τὰ θυσιαστήρια τοῦ κριτοῦ πάντα καταστρεψάντων; ὑπὲρ τῶν τὰς εἰκόνας αὐτοῦ καταπατησάντων; ὑπὲρ τῶν ἀπηνῶς τοὺς δούλους αὐτοῦ φονευσάντων; καὶ ὑπὲρ τῶν εἰς αὐτὸν καὶ τὸν αὐτοῦ πατέρα διὰ βίου*

---

591 *τοῦ παραλ.* ΠΚ *δὲ* Κ 605 *καὶ*[1] ἐπαναλαμβ. Κ

---

1. Τὸ Κοράνιον καὶ ἡ μωαμεθανικὴ θεολογία παραδέχονται κατ' ἀρχὴν τὴν δύναμιν καὶ ἀποτελεσματικότητα τῆς μεσιτείας κατὰ τὴν ἡμέραν τῆς Κρίσεως, ἀλλὰ μόνον διὰ τοὺς πιστούς (βλ. Κορ. 74 : 49, 26 : 100 - 101, 32 : 3, 30 : 12, 40 : 19, 39 : 44, 10 : 3, 53 : 20, 23, 20 : 108, 19 : 90, 36 : 22, 43 : 86, 21 : 28, 17 : 70, 88, 11 : 22, 31 : 4, 34 : 22, 7 : 5, 2 : 45, 117, 256). 'Η προσωπικότης ὅμως τοῦ μεσίτου δὲν προσδιορίζεται ἐν τῷ Κορανίῳ (ὁ ἴδιος ὁ Θεός οἱ ἄγγελοι, οἱ προφῆται ;). Πάντως ὁ ρόλος τῶν προφητῶν, ἐπομένως καὶ τοῦ Μωάμεθ, κατὰ τὴν ἡμέραν τῆς κρίσεως θὰ εἶναι ὁ ρόλος τοῦ « μάρτυρος » μᾶλλον καὶ τοῦ « κατηγορητοῦ » (βλ. Κορ. 85 : 3, 73 : 15, 16 : 86, 91α, 11 : 21, 40 . 34, 28 : 75, 39 - 47, 69, 2 : 137, 4 : 45, 22 : 18, 78, 48 : 8, 7 : 5, 5 : 108, 67 : 18, 86, 23 : 94, 32 : 5, 24 : 24). 'Η μεταγενεστέρα ὅμως παράδοσις ἐπεφύλαξεν εἰς τὸν Μωάμεθ τὸν προνομιοῦχον ρόλον τοῦ μεσίτου διὰ τὸν λαόν του ἐνώπιον τοῦ Θεοῦ καὶ οὐχὶ τοῦ Χριστοῦ. Κατὰ τὰς παραδόσεις αὐτὰς ὁ Χριστὸς ὄχι μόνον δὲν εἶναι ὁ Κριτὴς εἰς τὸν ὁποῖον ὁ Μωάμεθ ἀπευθύνεται, ἀλλὰ καὶ αὐτὴ ἡ πρὸς τὸν Θεὸν μεσιτεία διὰ τὸν λαόν του ἀπομένει ἄνευ ἀποτελέσματος. Βλ. L. Gardet, Les fins derniers selon la théologie musulmane, ἐν Revue Thomiste 56 (1956), 445 - 479 καὶ 57 (1957), 246 - 300. 'Ο 'Ισμαηλίτης ἀναφέρεται ἀκριβῶς εἰς τὴν παράδοσιν, διότι ὁμιλεῖ περὶ « βίβλων » καὶ οὐχὶ περὶ τῆς βίβλου. Αἱ τοιαῦται ὅμως παραδόσεις (hadith) παρουσιάζουν πλείστας ὅσας ἀντιθέσεις μεταξύ των. Πάντως μία παράδοσις ἥτις παρουσιάζει τὸν Μωάμεθ ἐνώπιον τοῦ 'Ιησοῦ δὲν δύναται νὰ εἶναι ὀρθόδοξος, προέρχεται δὲ μᾶλλον ἀπὸ χριστιανικὸν περιβάλλον (Διὰ τὴν μόρφωσιν τῶν hadith βλ. I. Gholdziher, Muhammedanische Studien, Halle 1899, 2 τόμ. γαλλ. μτφρ. τοῦ Β' τόμου ὑπὸ τὸν τίτλον Etudes sur la tradition islamique, Paris 1952).

βλασφημησάντων; ὑπὲρ τούτων αὐτὸς μεσιτεύει καὶ τούτους κολάσεως ἐξελεῖται; καὶ τίς ταῦτα, νοῦν ἔχων καὶ φρένας, ἐρεῖ; πόθεν δὲ τὴν παρρησίαν ἕξει ἑαυτοῦ καὶ τῶν τοσούτων μυριάδων τῆς ἀποστασίας ἀπολογήσασθαι ἢ πῶς ἄλλως ἐκεῖνος φανεῖται;

[56] ΑΣΕΒΗΣ. *Καὶ εἰ θεός ἐστιν ἀληθὴς ὁ Χριστὸς καὶ πλὴν αὐτοῦ οὐκ ἔστι, τί δήποτε τῆς τῶν Ῥωμαίων βασιλείας τὰ σκῆπτρα κρατεύεσθαι τῆς ἡμέρας πολλάκις εὐχόμενοι καὶ πάσης ῥύεσθαι θλίψεως ὀργῆς καὶ ἀνάγκης δεόμενοι παρ' αὐτοῦ, ὡς ἀκούομεν, ὁ δὲ τἀναντία τούτων πάσχειν ὑμᾶς συγχωρεῖ; ἢ γὰρ θεὸς οὐκ ἔστιν, ὅθεν οὐδὲ βοηθεῖν δύναται, ἤ, εἴπερ ἐστίν, ἄσπλαγχνός τις πέφυκε καὶ ἀνελεήμων τὰ πρὸς ὑμᾶς, ἢ ἀλλ' ὑμεῖς τὸ μὴ συμφέρον αἰτούμενοι παρορᾶσθε, ὡς ἄξιον*[1].

ΕΥΣΕΒΗΣ. *Οὐχ ὅτι θεὸς οὐκ ἔστιν οὐδ' ὅτι ἐστὶ μέν, ἄκαμπτος δέ τίς ἐστι καὶ ἀμείλικτος, οὐδ' ὅτι τά γε συμφέροντα οὐκ αἰτοῦντες, ἀποτυγχάνομεν τῆς αἰτήσεως,* [57] *ἀλλ' ὅτι χείλεσι μόνοις καὶ οὐ καρδίᾳ δεόμεθα, καὶ ἐν ἁμαρτίαις ζῶντες, ὡς ἀνάξιοι παρορώμεθα. καὶ ἃ δὲ λαβεῖν ἐκεῖθεν δεόμεθα πρὸς τὸ γενέσθαι ἡμῖν ταῦθ' ἁμαρτημάτων προσθήκης αἴτια αἰτοῦμεν γενέσθαι, διὸ καὶ τῆς αἰτήσεως ἀποπίπτομεν. οἷον τί λέγω· τὴν τοῦ βασιλέως νίκην εὐχόμεθα καὶ θλίψεως, ὡς ἔφης, καὶ ὀργῆς καὶ ἀνάγκης καὶ τῶν τοιούτων λυτροῦσθαι δεόμεθα, οὐχ ἵνα, εἰρηνεύοντες τοῖς ἐκτός, θεωρίᾳ καὶ πράξει πρὸς τὰ θεῖα θελήματα τὸν βίον ἡμῶν διευθύνωμεν, ἀλλ' ἵνα, εὐετηροῦντες ἐντεῦθεν, κατεπαίρεσθαι τῶν ὁμοδούλων δυνώμεθα καὶ πρὸς σαρκὸς ἡδυπάθειαν, ἄθροισίν τε πλούτου καὶ δόξαν ματαίαν ἐνασχολώμεθα· πλὴν οὐδὲ πάντῃ ἐν τούτοις οὐκ ἐπινεύει ὁ Χριστός, ἀλλὰ καὶ ῥύεται μυρίων ἀπροσδοκήτων καὶ ἀοράτων δεινῶν τοὺς ἐπικαλουμένους αὐτὸν καὶ τὴν βασιλείαν ἡμῶν συντηρεῖ καὶ κρατύνει ταύτην εἰς τέλος*[2].

---

609 *ἐκεῖνος* : *ἐκεῖ* ΠΚ 610 *ὁ πρὸ θεὸς* Κ 611 *κρατύνεσθαι* (;) Β 613 *τούτων παραλ.* ΠΚ *ἢ γὰρ* : *εἰ γὰρ* ΠΚ 617 *ἄκαμπτος* : *ἀκάλυπτος* Π *ἀκαλύετος* Κ 618 *ἀμείλιπτος* Π 621 *ὑμῖν* Π *ταῦθ'* : *τῆς τῶν* Κ 623 *τῶν παραλ.* Π 625 *διευθύνομεν* ΠΚ *εὐετηροῦντες* : *τηροῦντες* Κ 627 *καὶ πρὸ ἄθροισιν προστίθ.* ΠΚ *πάντῃ* : *πάντα* Π 629 *ἐπεικαλουμένους* ΚΒ *πεικαλουμένους* Π *αὐτὸν* : *αὐτῶν* Π *αὐτῷ* Κ

---

1. Ἡ ἐρώτησις ἐνταῦθα φαίνεται νὰ ἀφορᾷ τὰς δυστυχίας τῶν χριστιανῶν μᾶλλον ἢ τὴν θεότητα τοῦ Ἰησοῦ, διότι ὁ Ἰσμαὴλ οὐδαμοῦ φαίνεται ἀμφισβητῶν αὐτήν. (Βλ. καὶ Εἰσαγωγήν). Οὕτω μόνον δύνανται νὰ νοηθοῦν οἱ στ. 613 - 615.

2. Ἡ φροντὶς αὐτὴ τοῦ Βρυεννίου διὰ τὴν μετάνοιαν καὶ τὴν πνευματικὴν κάθαρσιν καὶ ἀνόρθωσιν τῶν χριστιανῶν καὶ τὴν ἐναπόθεσιν τῶν ἐλπίδων των εἰς τὸν Χριστὸν ἀπετέλει ἀσφαλῶς τὸ κέντρον τῆς δράσεως τοῦ ἱεροκήρυκος καὶ ποιμένος. Οὐχ ἧττον ὅμως ἀπετέλει τοῦτο φροντίδα πρωταρχικὴν καὶ οὐσιώδη συμπάσης τῆς ἐκκλησίας κατὰ τοὺς ιε', ις' καὶ ιζ' τοὐλάχιστον αἰῶνας. (Βλ. Ἀ. Β α κ α λ ο π ο ύ λ ο υ, ἔνθ' ἀν., τόμ. Α', σσ. 130 - 153. A. A r g y r i o u, Les spirituels néo-grecs, Namur 1967, σσ. 10 - 12 καὶ 37 - 39).

[58] ΠΛΑΝΟΣ. *Ὡς ἔγωγε οἶμαι, οὐδὲν διαφέρει πιστὸς ἀπίστου καὶ ἐν λόγοις μόνον ἐστὶν αὐτοῖς ἡ διαφορὰ καὶ ἡ δόξα ἐνταῦθα, οὐκ ἐν πράγμασι δὲ ἐν ἐκείνῳ τῷ κόσμῳ· καὶ τοῦτο δῆλον ἐντεῦθεν: εἰσὶν ἀσεβεῖς ἐλεήμονες, σώφρονες, δίκαιοι καί τινα ἴσως τῶν λοιπῶν ἀγαθὰ κεκτημένοι, εἰσὶ δὲ καὶ εὐσεβεῖς πᾶν τοὐναντίον. μετὰ οὖν τὴν πάντων ἐντεῦθεν ἐπιδημίαν, οὐχὶ δίκαιον τούτους μὲν τοὺς ἀσεβεῖς ταγῆναι μετὰ τῶν δικαίων, ἅτε τῆς ἀρετῆς ἐργάτας, ὡς τοὺς εὐσεβεῖς ἐκείνους μετὰ τῶν ἁμαρτωλῶν, ἅτε δούλους τῆς ἁμαρτίας;*

ΑΛΗΘΗΣ. *Ἄπαγε· τίς γὰρ μερὶς πιστῷ μετὰ ἀπίστου; ἀλλὰ κουφισθῆναι μὲν τὴν ἐναποκειμένην αὐτοῖς κόλασιν διὰ τὴν ἀγαθοεργίαν αὐτῶν οὐδὲν ἀπεικός, συνταγῆναι δὲ τοῖς πιστοῖς, κἂν πᾶσαν μετέλθωσιν ἀρετήν, ἀδικώτατον. οὐδὲ οἱ πιστοί, ἐν ἁμαρτίαις ἀποθνήσκοντες, τοῖς κολαζομένοις ἀπίστοις συντάττονται.*

ΑΧΑΙΜΕΝΙΔΗΣ. *Τίνος ἕνεκα καὶ διατί;*

ΧΡΙΣΤΙΑΝΟΣ. *Ὅτι οὐ μόνον πρὸς τὰ ἔργα ἀλλὰ καὶ πρὸς τοὺς σκοποὺς καὶ τὰ πρόσωπα αἵ τε κρίσεις γίνονται καὶ αἱ κολάσεις ἀποκληροῦνται· τοῖς μὲν γάρ, ἵν' ἐπιζήσωσιν ἐνταῦθα καὶ δοξασθῶσι καὶ εὐοδοθῇ αὐτοῖς τὰ κατὰ τὸν βίον τῆς ἀγαθοεργίας, ἦν ὁ σκοπός, τοῖς δέ, ἵνα πᾶσαν τὴν τῆς ἀρετῆς ἀμοιβὴν ἐκεῖ ἀπολήψονται. καὶ ἐφ' ἁμαρτανόντων δὲ πιστῶν καὶ ἀπίστων ταὐτὰ πολλὴν εὕροι τις τὴν διαφοράν· οἱ μὲν γὰρ ὥσπερ τυραννούμενοι καὶ τοῦ στενάζειν οὐ δίχα, οἱ δὲ ἀδεῶς καὶ ἀμετανόητα ἁμαρτάνουσιν. ὡς οὖν εἶδος χάριτος οὐκ ἔστιν ὃ μὴ ἐξέρχεται τοῦ θείου δικαστηρίου, οὕτως οὐδὲ κρίσεως εἶδος ὃ μὴ τοῖς ἀπολλυμένοις ἐκεῖθεν ἐκφέρεται*[1].

[59] ΤΑΛΑΣΙΜΑΝΗΣ. *Ἐν παντὶ κριτηρίῳ καὶ παντὶ ἁμαρτήματι μειζόνως κολάζεται ὁ οἰκεῖος τοῦ ἀλλοτρίου, ὁ μεμυημένος τοῦ ἀμυήτου καὶ ὁ εἰδήμων τοῦ ἀμαθοῦς, ἢ οὐχ οὕτω νομίζειν χρεών;*

---

639 Β' Κορ. 6,15.

---

634 *δὲ* παραλ. ΠΚ 635 ἴσως *ἐκδημίαν* 651 *δὲ* παραλ. Π

---

1. Τὸ πρόβλημα τῆς πίστεως καὶ τῶν ἔργων ἀπησχόλησε καὶ τὴν χριστιανικὴν θεολογικὴν σκέψιν. Αἱ ἐπ' αὐτοῦ ὅμως ἀντιθέσεις ἢ ἐλλείψεις τοῦ Κορανίου προυκάλεσαν χαρακτηριστικὴν ὀξύτητα κατὰ τὴν ἐξέτασιν τοῦ προβλήματος ὑπὸ τῆς μουσουλμανικῆς θεολογίας. (Βλ. L. Gardet, Les Noms et les Statuts: Le problème de la foi et des œuvres en Islam, ἐν Studia Islamica, τόμ. 5, σ. 61-124. Τοῦ αὐτοῦ, Les actes et le salut de l'homme selon l'Islam, ἐν Vie et Lumière, 1956. E. Nader, Le système philosophique des muᶜtazila, Beyrouth 1956. M. Allard, Le problème des attributs divins dans la doctrine d'Al-Ašᶜarī et de ses premiers grands disciples, Beyrouth 1965). Ἄξιον παρατηρήσεως ἐνταῦθα εἶναι τὸ γεγονὸς ὅτι ὁ Βρυέννιος ἀποφεύγει νὰ καταδικάσῃ τοὺς εἰς ἀγαθὰ ἔργα ἐπιδιδομένους ἀπίστους.

ΜΟΝΑΧΟΣ. *Πῶς γὰρ οὔ;*

ΚΑΡΜΙΑΝΟΣ. *Οὐκοῦν, ἐπεὶ παρελθεῖν ἀναμαρτήτως τὸν βίον ἀμήχανον, ἀμύητον καὶ ζῆσαι καὶ θανεῖν βέλτιον· οὕτω γὰρ ἄν τις ἐκφύγοι τὴν μείζονα κόλασιν.*

ΒΡΥΕΝΝΙΟΣ. *Ἄσοφον τόδε τὸ σόφισμα καὶ κατὰ τοῦ λέγοντος λέγεται. οὐδὲν γὰρ ἕτερον λέγεις ἢ «δέει τοῦ μὴ ἅπαξ ἁμαρτῆσαι ἀεὶ ἁμαρτήσομαι καὶ φόβῳ τοῦ μὴ ὀφθαλμιᾶσαι ἐν σκότει διὰ βίου πορεύσομαι καὶ εὐλαβείᾳ τοῦ μὴ ἀστοχῆσαι μηδεμιᾶς τῶν ἀγαθῶν πράξεων ἅψομαι». αὕτη ἐστὶν ἣν ἀκούεις ἀπόγνωσιν. εἰπὲ καὶ τὸ τούτοις ἑπόμενον «προσοχῇ τοῦ μὴ εἴς τινα κόλασιν ἐμπεσεῖν γενήσομαι πάσαις ὑπεύθυνος».*

ΙΣΜΑΗΛ. *Ἄριστα μὲν ἔφης.* [60] *Διατί δὲ μὴ φύσει τὸ ἀναμάρτητον ἔχομεν;*

ΙΩΣΗΦ. *Πρὸς τοῦτο ἐρῶ σοι λόγον οὐκ ἐμὸν ἀλλὰ μεγάλου καὶ ἁγίου ἀνδρός· ὅτιπερ, φησί, καὶ σὺ τοὺς οἰκέτας οὐχ ὅταν δεσμίους ἔχῃς εὔνους ὑπολαμβάνεις, ἀλλ' ὅταν ἑκουσίως ἴδῃς ἀποπληροῦντάς σοι τὰ καταθύμια.*

ΑΠΙΣΤΟΣ. *Θαυμαστὴ ἡ ἀπάντησις.* [61] *ἀλλ' ἵνα τί, πρόσκαιρα ἁμαρτάνοντες, αἰώνια κολαζόμεθα, καὶ τῆς ἁμαρτίας ἡμῶν παυομένης αὐτίκα, ἡ διαδεχομένη ταύτην κόλασις τέλος οὐ κέκτηται;*

ΟΡΘΟΔΟΞΟΣ. *Τοῦτο διὰ τὴν πρόθεσιν καὶ τὸν εἰς τὴν ἁμαρτίαν ἡμῶν ἄληκτον πόθον συμβαίνει. εἰ γὰρ θάνατος ἡμᾶς καὶ ἄκοντας διΐστησι τῶν χειρόνων, ἀλλ' ἡμεῖς, τό γε εἰς ἡμᾶς ἧκον, οὕτω πρὸς ταῦτα ἐρωτικῶς διακείμεθα, ὡς ἀεὶ βιωσόμενοι καὶ ἀδιάπαυστα ἁμαρτήσοντες, ὡς δι' αὐτὸ τοῦτο ζῶντες καὶ δι' οὐδὲν ἄλλο πάντως· καὶ δι' αὐτό, τοῦ ἁμαρτάνειν οὐδὲ ἐν τῷ θανεῖν παραιτούμεθα. ὥσπερ ἄρα ἐκ διαμέτρου τῆς ἡμετέρας σπουδῆς πράττουσιν οἱ τὴν ἀρετὴν μετερχόμενοι, ἡδέως ὑπὲρ τοῦ πράττειν αὐτὴν ζῶντες καὶ προθύμως, οὐχ ἅπαξ ἀλλὰ μυριάκις εἰ δέοι, ὑπὲρ αὐτῆς ἀποθνήσκοντες. ὡς οὖν ἐκεῖ τοῖς ἀγαθοεργοῦσι προσκαίρως, διὰ τὴν εἰς τὰ καλὰ ἀθάνατον πρόθεσιν, ἀνάπαυσις ἄληκτος ἕπεται, οὕτω κἀνταῦθα κόλασις ἀπέραντος ἀκολουθεῖ τοῖς τὸν σκοπὸν καὶ τὸν πόθον τοῦ ἁμαρτάνειν αἰώνιον ἔχουσιν. ἢ τίς ὁ λόγος, ἐπὶ μὲν τῆς προσκαίρου ἀρετῆς ζωὴν αἰώνιον καὶ ἀκήρατον, ἐπὶ δὲ τῆς προσκαίρου κακίας πρόσκαιρον κόλασιν ἀπεκδέχεσθαι;*

[62] ΑΣΕΒΗΣ. *Καὶ τί δήποτε τοὺς ἁμαρτάνειν μέλλοντας καὶ διὰ τοῦτο κολασθησομένους ἀθάνατα προβλέπον τὸ θεῖον, οὐκ ἀπείργει τούτους τῆς εἰς τὸ εἶναι προόδου, ὡσὰν μήτε γεννηθῶσι μήτε μὴν τῇ γεέννῃ παραπεμφθῶσιν; ἢ τί ὄφελος μικρὸν ἐνθάδε βιῶναι χρόνον καὶ διὰ τὸ παρασυρῆναι ὑπὸ τῆς ἡδονῆς ἀπέραντα βασανίζεσθαι;*

ΕΥΣΕΒΗΣ. *Οὐδὲν ἕτερον λέγεις ἢ ὅτι ἔδει τὴν ἁμαρτίαν καὶ μήπω γεγεννημένην τῆς τοῦ Θεοῦ δημιουργίας τοσοῦτον ἐπικρατεῖν ὡς μηδὲ ἐᾶν αὐτὴν ὅλως εἰς*

---

662 *μὴ*[1] παραλ. Π 663 *ἣν* : *ἦν* Π 664 *τινα* παραλ. ΠΚ 665 *πάσαις* : *ταύτης* ΠΚ 667 *ἐρῶ σοι* : *ἐρῶσι* Κ 668 *ἔχεις* Π 677 *τὸ ἁμαρτάνειν οὐδὲ τὸ θανεῖν* ΠΚΒ 680 *ἀποθνήσκοντας* Κ 687 *τῆς* : *τὴν* Κ 688 *μήτε γεννηθῶσι* παραλ. ΠΚ

τὸ εἶναι προβαίνειν. ὅθεν, ἐπεὶ τὸ γενέσθαι τοῦ μὴ γενέσθαι κρεῖττον καὶ τὸ εἶναι τοῦ μὴ εἶναι βέλτιον, τὸ θεῖον εἰς δημιουργίαν ἀπιδὸν οὐ τοῦ χείρονος γέγονε, τὸ δὲ κρεῖττον καὶ πεποίηκε καὶ ποιεῖ.

ΠΛΑΝΟΣ. *Πάνυ μὲν οὖν. ἀλλ' εἰς μὲν τὸν δημιουργὸν ἡ δόξα αὕτη ἀναφέρεται καὶ ἡ χάρις, ὅτι ὡς καὶ τἄλλα τῶν κτισμάτων ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγει καὶ τὸ ἴδιον πλάσμα, τὸν ἄνθρωπον·* [63] *εἰς δὲ τὸν ἁμαρτήσοντα καὶ διὰ τοῦτο κολασθησόμενον ἄνθρωπον, τὸ μὴ γενέσθαι βέλτιον φαίνεται τοῦ γενέσθαι καὶ τὸ μὴ εἶναι τοῦτον κρεῖττον δοκεῖ τοῦ εἶναι, ὅτι τὸ μὲν εἶναι υἱὸν κολάσεως αὐτὸν δείκνυσι, τὸ δὲ μὴ εἶναι οὔτε κολάσεως οὔτ' ἀναπαύσεως.*

ΑΛΗΘΗΣ. *Οὔτε τὸ γενέσθαι οὔτε τὸ εἶναι κληρονόμον κολάσεως αὐτὸν ἀπεργάζεται, ἐπεὶ πάντες οἱ τὸ γενέσθαι καὶ εἶναι λαβόντες δι' αὐτὰ ταῦτα υἱοὶ ἂν κολάσεως ἀπεδείκνυντο, ἀλλ' ἡ πονηρὰ γνώμη καὶ ἡ διεφθαρμένη προαίρεσις, ἥτις ἐξ αὐτοῦ μόνου τὴν γένεσιν ἔσχηκεν· ὅμως, ἐπείπερ αὐτὸς τὸ μὴ εἶναι βέλτιον κρίνεις τοῦ εἶναι, γενέσθω σοὶ μόνῳ τοῦτο πρὸς τῆς προνοίας καὶ εἴης ὅλως μὴ ὤν.*

[64] ΑΧΑΙΜΕΝΙΔΗΣ. *Ἔτι δοκιμάσω ἀντεπιλαβέσθαι σου. ἔστι μέλλον ἢ οὐκ ἔστι;*

ΧΡΙΣΤΙΑΝΟΣ. *Καὶ ἔστι καὶ οὐκ ἔστι. ἔστι μὲν γὰρ μέλλον ἡ συντέλεια, ἡ ἀνάστασις, ἡ κρίσις καὶ ἡ ἀνταπόδοσις καὶ εἴ τι τοιοῦτον μετὰ ταῦτα κοινῶς συμβῆναι προλέγεται, ὡς καὶ ἡ αὔριον καὶ χρόνος ἅπας ὁ μέλλων, οὐκ ἔστι δὲ μέλλον τὸ παρὰ πᾶσι θρυλούμενον, ἤτοι τὸ προειμαρμένον τοῖς ἀνθρώποις ἑκάστῳ καὶ ἀποκείμενον αὐτῷ ἀπαραβάτως συμβῆναι, διῆκον ἀπὸ γεννήσεως ἄχρι καὶ τελευτῆς καὶ εἰς τὸν αἰῶνα αὐτῷ παρεπόμενον. εἰ γὰρ ἦν, οὔθ' ὁ ἁμαρτωλὸς περὶ τῆς ἑαυτοῦ ἁμαρτίας κατηγορεῖτο, ὡς ἄνωθεν ἀποκληρωθείσης αὐτῷ, οὔθ' ὁ δίκαιος διὰ τὸ τῆς ἀρετῆς ἐτιμᾶτο κατόρθωμα, ἅτε ἀποκειμένου αὐτῷ, καὶ οὐκ ἐνδεχόμενον εἶναι τοῦτον ἄλλως γενέσθαι ἀλλ' ἐξ ἀνάγκης ἐνάρετον· καὶ τὸ αὐτεξούσιον ἡμῶν ἀφῃρεῖτο, ὡς μήτε ἀρετὴν ἔτι μήτε κακίαν μηδένα ἐξ ἑαυτοῦ πρᾶξαι δύνασθαι καὶ οὐδὲν ἂν διεφέρομεν τῶν θηρίων καὶ τῶν εἱμαρμένην εἰσαγόντων ἢ γένεσιν.*

[65] ΤΑΛΑΣΙΜΑΝΗΣ. *Τῶν μελλόντων γενέσθαι λανθάνει τι τὸν θεόν;*

ΜΟΝΑΧΟΣ. *Οὐ μὲν οὖν. πάντα δ' ὡς ἐνεστῶτα τοῖς παντεφόροις ὀφθαλμοῖς αὐτοῦ καὶ προκείμενα καθορᾶται.*

ΚΑΡΜΙΑΝΟΣ. *Δύναται οὖν ἄλλως τὰ γινόμενα ἀποβῆναι ἢ ὡς ἂν αὐτὸς ἕκαστον αὐτῶν προορᾷ γενησόμενον;*

---

693 *ἐπὶ* ΠΚ 698 *ἁμαρτήσαντα* ΠΚ 707 *τούτῳ* Κ 708 *εἴης : ϑλης* Κ 709 *ἐπιλαβέσθαι* ΠΒ *μέλλον : μᾶλλον* Κ 714 *ἀπαραβήτως* Π 715 *αὐτὸ* ΠΚΒ 716 *κατηγοροῖτο* Κ 717 *ἀρετῆς : ἁμαρτίας* Π 724 *καὶ μετὰ προκείμενα προστίθ.* Κ 725 - 726 *ἢ ὡσὰν αὐτὸς ἕκαστον αὐτὸν προορᾷ* Π : *ἢ ὡσὰν ἄν τις ἕκαστον αὐτὸν προ ὁρᾷ* Κ : *ἢ ὡσὰν αὐτός, ἕκαστον αὐτὸν προορᾷ* Β

ΒΡΥΕΝΝΙΟΣ. *Οὐδαμῶς.*

ΙΣΜΑΗΛ. *Λοιπόν, ὡς δοκεῖ, προώρισται ἑκάστου καὶ εἵμαρται τὸ ἀποβησόμενον· ὅθεν καὶ παρ᾽ αὐτοῦ, καθὼς μέλλει καὶ πρόκειται ἀποβῆναι, οὕτω δῆτα καὶ προγινώσκεται*[1].

ΙΩΣΗΦ. *Ἀλλ᾽ εἰ καὶ πάντα προγινώσκει, ἅτε θεὸς παντοδύναμος, οὐδὲν προορίζει τῶν ἐφ᾽ ἡμῖν, εἰ μή τις φαίη προορισμὸν ἄλλως τὴν εἰς τὸ κατὰ πρόθεσιν ἡμῶν ἀγαθὸν εὐδοκίαν αὐτοῦ καὶ βοήθειαν· εἰ δ᾽ οὔ, αὐτὸς καὶ πρὸ τοῦ παραχθῆναι πάντας τῆς ἁμαρτίας δούλους ἡμᾶς ἀποκαθιστᾷ, ὅπερ καὶ ἄτοπον ἐννοεῖν καὶ λέγειν ἀφόρητον. δεῦρο δέ μοι καὶ σκόπει τῆς ἀληθείας τὴν πρόφασιν, ὅτι ἡ θεία πρόγνωσις οὐκ ἀναιρεῖ τὸ αὐτεξούσιον. καὶ γὰρ οὐχ ὅτι προγινώσκει καὶ οὔτε ἡ πρὸς ἡμῶν τελουμένη κακία ἐκ τοῦ παρ᾽ αὐτοῦ προορᾶσθαι τὸ αἴτιον ἔσχηκεν οὔτε ἡ ἐν ἡμῖν ἀρετὴ ἐντεῦθεν τὴν ἀρχὴν τοῦ γίνεσθαι κέκτηται, ὅτι οὐδὲ τὴν κακίαν ὁπωσοῦν αὐτὸς θέλει, οὐδὲ τὴν ἀρετὴν ὅλως βιάζεται. καὶ ὥσπερ τινὸς ἐξ ἀπόπτου καὶ μετεώρου περιωπῆς ὁρῶντος λῃστὰς ἐφεδρεύοντας τόπῳ, βλέποντος δὲ καί τινα εἰς χεῖρας αὐτῶν ἐμπεσούμενον καὶ φονευθησόμενον, οὐδὲν ἐκ τοῦ ταῦτα προβλέπειν αὐτὸν ἀποβαίνει τῷ τοῖς λῃσταῖς παραπίπτοντι, οὕτως οὐδὲν ἐκ τοῦ προγινώσκειν τὸν θεὸν τὰ ἡμέτερα ὅπως ἔσται τοῦ οὕτω ταῦτ᾽ ἀποβῆναι καθίσταται αἴτιον. καὶ ἁπλῶς, ὅπου ἡ πρόγνωσις παρεμποδίζει μηδὲν μηδὲ συνεργάζεται, ἀμέτοχος πάντῃ τῶν ἀποβαινόντων εὑρίσκεται.*

[66] ΑΠΙΣΤΟΣ. *Ὁ αἴτιός τινος καὶ τῶν ἐξ αὐτοῦ πάντων αἴτιος. ὁ τοῦ ἀνθρώπου αἴτιος καὶ τῆς ἐξ αὐτοῦ ἁμαρτίας αἴτιος πάντως· εἰ δὲ τοῦτο, ἢ οὐδέν ἐστιν ἡ ἁμαρτία ἢ συγγνώμης ἄξιος ὁ ἁμαρτάνων ἢ τί χρὴ πρὸς ταῦτα νομίζειν*[2];

---

729 *μέλει* Π *δῆτα* : *δέτε* Κ 731 *καὶ παραλ.* Κ 738 *γενέσθαι* Κ 745 *μηδὲ* : *μηδὲν* Κ *συνεργάζηται* ΠΒ 749 *ἢ τί* : *ἤτι* Κ

---

1. Τὸ περὶ εἱμαρμένης ἢ ἀπολύτου προορισμοῦ πρόβλημα ἀπησχόλησεν ἀείποτε τὴν μουσουλμανικὴν θεολογικὴν σκέψιν, τοσούτῳ μᾶλλον καθ᾽ ὅσον ἡ Κορανικὴ διδασκαλία παρουσιάζει πλείστας ὅσας ἀντιθέσεις. (Βλ. L. Gardet, La mesure de notre liberté, chapitre de la theologie musulmane, Tunis 1946. Εἰσέτι τὰ δύο ἀνωτέρω ἄρθρα τοῦ αὐτοῦ). Ἡ πίστις ὅμως εἰς τὸ *κισμέτ* εἶναι βαθεῖα ἐν τῷ μωαμεθανικῷ κόσμῳ. Οἱ βυζαντινοὶ συγγραφεῖς ἐπετέθησαν ἀείποτε κατὰ τῆς ἰδέας ταύτης. Βλ. Ἀνωνύμου, Κατὰ Μωάμεθ, PG 104, 1452 D. Βαρθολομαίου, Ἔλεγχος..., PG 104, 1393 B-C. Νικήτα τοῦ Βυζαντίου, Ἀνατροπή..., PG 105, 764 A-C. Ἰωάννου τοῦ Καντακουζηνοῦ, Λόγοι, PG 154, 616 D-617 A.

2. Ἡ περὶ τοῦ Θεοῦ ὡς αἰτίου τοῦ κακοῦ μουσουλμανικὴ διδασκαλία ὑπῆρξεν ἀείποτε σπουδαῖον ἐπιχείρημα διὰ τοὺς χριστιανοὺς πρὸς ἀπόδειξιν τῆς ἀνθρωπίνης ἢ διαβολικῆς προελεύσεως τοῦ Κορανίου (βλ. Ἀβουκάρα, Διάλογοι, PG 97, 1588 A-C. Ἀνωνύμου, Κατὰ Μωάμεθ, PG 104, 1452 D. Βαρθολομαίου, Ἔλεγχος..., PG 104, 1393 B-C. Βυζαντίου, Ἀνατροπή..., PG 105, 757-760, 780 B-C. Καντακουζηνοῦ, Ἀπολογίαι, PG 154, 557. Βλ. καὶ Ε. Σδράκα, ἔνθ᾽ ἀν., σσ. 94-97).

ΠΙΣΤΟΣ. *Τῆς φύσεως τοῦ ἀνθρώπου καὶ τοῦ ἐνάρετον αὐτὸν εἶναι ὁ θεὸς αἴτιος· τῆς μέντοι ἐφαμάρτου γνώμης αὐτοῦ καὶ τῆς ἀπωλείας αὐτὸς ἐκεῖνος καὶ οἱ συνεργοὶ αὐτοῦ δαίμονες.*

[67] ΑΣΕΒΗΣ. *'Αλλ' ἐκ μὲν τῆς φύσεως ἡ γνώμη, ἐκ δὲ τῆς γνώμης ἡ ἁμαρτία· ὁ τὴν φύσιν γοῦν παρασχὼν εἰς τὸ εἶναι καὶ τὴν ἐξ αὐτῆς γνώμην παρέσχετο.*

ΕΥΣΕΒΗΣ. *Εὐφήμει, ὦ ἄνθρωπε· εἰ γὰρ φύσεως ἦν ἡ τοιαύτη γνώμη, ἐχρῆν πάντας ἀνθρώπους ὀργίλους, φονεῖς, προδότας εἶναι καὶ ἅρπαγας, ὡς τῆς αὐτῆς ὄντας φύσεως.*

[68] ΠΛΑΝΟΣ. *Εἰ ἐγένετο ὁ ἄνθρωπος ὥστε κολάζεσθαι, ἔδει μήτε γενέσθαι τοῦτον μήθ' ὑποκεῖσθαι αἰωνίῳ κολάσει, ὡς πάντες οἶμαι κρινοῦσιν ἐχέφρονες.*

ΑΛΗΘΗΣ. *"Εως πότε τὰ αὐτὰ ἀνελίττεις κενολογῶν; οὐκ ἐγένετο ὁ ἄνθρωπος πρὸς θεοῦ ἵνα κολάσει ὑπόκειται, ἀλλὰ κολάσει τις ὑπόκειται, ἐπειδὴ οἴκοθεν τῆς ἁμαρτίας δοῦλος ἐγένετο.*

[69] ΑΧΑΙΜΕΝΙΔΗΣ. *Καὶ πῶς φησι περί τινος 'Ιησοῦς, ὁ θεὸς ὑμῶν· «καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος»;*

ΧΡΙΣΤΙΑΝΟΣ. *Καὶ πῶς τοῦτο σὺ τὸ ῥητὸν ἐκλαμβάνεις;*

ΤΑΛΑΣΙΜΑΝΗΣ. *Καθά τινος ἤκουσα τῶν ἐξ ὑμῶν μεγάλων, ὅτιπερ, φησίν, ὁ μὲν θεὸς ἐπ' ἔργοις ἀγαθοῖς τοῦ γεννηθῆναι τοῦτον, ὥσπερ καὶ πάντα ἄνθρωπον, ἐβουλήθη, ὁ δ' ἐπὶ κλοπῇ καὶ φιλαργυρίᾳ καὶ βασκανίᾳ καὶ προδοσίᾳ τῷ γεννηθῆναι καὶ εἶναι ἐχρήσατο. λέγει τοίνυν ὁ 'Ιησοῦς κρεῖττον μηδόλως αὐτὸν γεννηθῆναι ἢ ἐπ' ἔργοις τοιούτοις αὐτὸν χρήσασθαι τούτῳ τῷ γεννηθῆναι, οἷς ἕπεται κόλασις.*

ΜΟΝΑΧΟΣ. *Εἶτα οὐκ ἀρέσκει σοι αὕτη ἡ ἐπεξήγησις;*

ΚΑΡΜΙΑΝΟΣ. *Καὶ πάνυ· συμβαίνουσα γάρ ἐστι κατὰ πάντα οἷς προέτεινον ἔναγχος, ὅτι καλὸν παντὶ ἁμαρτήσαντι μὴ γεννηθῆναι τὸ σύνολον. σοὶ δὲ τί περὶ τούτου δοκεῖ;*

ΒΡΥΕΝΝΙΟΣ. *Οἰκτείροντος ὁ λόγος· διὸ πρῶτον αὐτὸν υἱὸν ἀπωλείας εἰπών, τὴν τοιαύτην γέννησιν καλὸν αὐτῷ εἰ οὐκ ἐγεννήθη φησί· σὺ δέ, ὥσπερ τὰ παρ' ἑνός τινος πραχθέντα οὐκ ἐγκαλεῖς πλείοσιν, οὕτω μηδὲ τὰ καθ' ἑνὸς εἰρημένα τοῖς ἅπασι πρόσαπτε.*

[70] ΙΣΜΑΗΛ. *Μικροῦ πείθεις με πιστεύειν ὡς ἀληθὴς ἡ τῶν χριστιανῶν ἐστι πίστις μόνη* [1].

---

764 - 765 Ματθ. 26,24, Μάρκ. 14,21.

---

755 *εἰ* : *ἡ* ΠΒ *ἡ* Κ 759 *πάντας* ΠΒ 764 *ἡμῶν* Π 769 *ἠβουλήθη* Κ *δὲ* ΠΚΒ 775 *σοὶ* : *σὺ* ΠΚΒ

---

1. 'Η μεταξὺ τῶν παραγράφων 58 καὶ 70 περιεχομένη συζήτησις ὑπενθυμίζει

ΙΩΣΗΦ. *Πίστευσον ὅτι οὐδεὶς δύναται πιστεῦσαι εἰς Χριστόν, ἐὰν μὴ ᾖ αὐτῷ δεδομένον ἄνωθεν· πᾶσα γὰρ δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων. ἔστι δὲ μία τῶν ἀγαθῶν δόσεων τῶν ἐκεῖθεν, ἡ εἰς τὴν ἁγίαν Τριάδα πίστις. εἰ οὖν καὶ σοὶ αὕτη ἡ δόσις δοθῇ ἄνωθεν, πιστὸς γενήσῃ ὀρθόδοξος, εἰ δ' οὔ, οὔτ' ἐκ τῶν ἐμῶν λόγων, ὧν πλὴν τοῦ ἀληθεῖς εἶναι οὐδὲν ὄφελος, οὔτε παρ' ἑτέρων οὔτε παρὰ σαυτοῦ εὑρήσεις ὠφέλειαν*[1].

[71] ΑΠΙΣΤΟΣ. *Περὶ τριάδος*[2] *καλῶς ὑπέμνησας· πῶς, λέγοντες πιστεύειν εἰς ἕνα θεόν, ὁμολογεῖτε πάλιν πιστεύειν καὶ εἰς τριάδα;*

---

787 *εἰ δ' οὔ* : *εἰ δ' οὖν* ΠΚΒ *οὔτ'* : *οὐδὲ* Π *οὐδ'* Κ *οὔτε* Β 790 *τῆς πρὸ τριάδος προστίθ.* Κ

τοὺς διαλόγους τοῦ Ἀβουκάρα. Ὁ διάλογος εἶναι σύντομος καὶ ζωηρός, ἡ δὲ ἐπιχειρηματολογία κρατεῖ τὸ ἐνδιαφέρον τοῦ ἀναγνώστου.

1. Ἡ τοιαύτη ἀπάντησις τοῦ Βρυεννίου ἐκφράζει ἀπολύτως τὴν πεποίθησιν τῶν χριστιανῶν τῆς ἐποχῆς του. Ἐνώπιον τῶν μεγάλων ὑλικῶν ἐπιτυχιῶν τοῦ μωαμεθανισμοῦ καὶ τοῦ ἐξισλαμισμοῦ τῶν χριστιανῶν, ἡ πρὸς τὸν Χριστὸν στροφὴ ἑνὸς μουσουλμάνου ἦτο ἔργον θείου φωτισμοῦ καὶ ἐνεργείας. Διά τὸν λόγον δ' αὐτὸν ἀκριβῶς, οἱ συνομιληταὶ τῶν χριστιανῶν σπανίως παρουσιάζονται ἀσπαζόμενοι τὸν χριστιανισμόν, μολονότι ἡ ἀλήθεια τῆς ἐν Χριστῷ πίστεως τοῖς ἐκτίθεται ἐναργεστάτη (βλ. τὰ σχετικὰ ἔργα τῶν Σαμωνᾶ, Γρηγορίου Παλαμᾶ, Μανουὴλ Β' Παλαιολόγου, Γενναδίου Σχολαρίου, Νικουσίου). Μόνος ὁ Εὐθύμιος παρουσιάζει τὸν συνομιλητήν του ἀσπαζόμενον τὸν χριστιανισμόν. Προλαμβάνων τὴν εἰς τὸν χριστιανισμὸν προσέλευσιν τοῦ συνομιλητοῦ του, ὁ Βρυέννιος λέγει ὅτι τοῦτο μόνον ὡς θεῖον δῶρον δύναται νὰ ἐκληφθῇ. Πρὸς τούτοις προτιμᾷ νὰ ἀντικαταστήσῃ τὴν ἀνθρωπίνην σοφίαν (στ. 10, 19 - 22) ἢ ἀποδεικτικὴν καὶ διαλεκτικὴν ἱκανότητα (στ. 254 - 259 καὶ 787 - 789) διὰ τοῦ θείου φωτισμοῦ. Σημειωτέον ἐπίσης ὅτι οἱ χριστιανοὶ μεγάλην ἀπέδιδον σημασίαν, διὰ τὴν στροφὴν τῶν μουσουλμάνων, εἰς τὰ θαύματα (βλ. Γρηγορίου Δεκαπολίτου, Λόγος ἱστορικός, PG 100, 1201 - 1212) καὶ εἰς τὰ μαρτύρια τῶν νεομαρτύρων (βλ. Νικοδήμου τοῦ Ἁγιορείτου, Νέον Μαρτυρολόγιον, σσ. 11 - 12, 3η ἔκδ , Ἀθῆναι 1961).

2. Ἡ ἔκθεσις καὶ ἀπόδειξις τοῦ μυστηρίου τῆς ἐν Τριάδι θεότητος ἀπησχόλησεν ἅπαντας τοὺς χριστιανοὺς ἀπολογητάς. Βλ. Ἰωάννου τοῦ Δαμασκηνοῦ, Πηγὴ Γνώσεως, PG 94, 768 B - D. Ἀνωνύμου, Κατὰ Μωάμεθ, PG 104, 1452 D - 1453 B καὶ 1453 C. Ἀβουκάρα, Διάλογοι, PG 97, οἱ ὑπ' ἀριθ. 3, 23, 25, 26. Βαρθολομαίου, Ἔλεγχος..., PG 104, 1384 B - D. Νικήτα τοῦ Βυζαντίου, Ἀνατροπή..., PG 105, 672 C - 701 D, 748 B - 749 B, 784 C - 788 B, 800 C - 801 B, 812 C - 821 C, 821 D - 841 C. Εὐθυμίου Μοναχοῦ, Διάλεξις..., PG 131, 20 - 37. Ἀρέθα, Ἐπιστολή, ἐν Byzantion 24 (1954), 296 - 297. Ριχάρδου, Confutatio, PG 154, 1097 B - 1100 C, 1124 D - 1140 D. Ἀνωνύμου (= Ριχάρδου), Confessio, PG 154, 1157 C - D. Ἰωάννου τοῦ Καντακουζηνοῦ, Λόγοι, PG 154, 673 C - 674 A. Μανουὴλ Β' Παλαιολόγου, Διαλέξεις..., ἔκδ. E. Trapp, οἱ ὑπ' ἀριθ. 14 - 19. Οἱ ἀπολογηταὶ τοῦ ιε' αἰῶ-

ΟΡΘΟΔΟΞΟΣ. *Ὅτι ὁ εἷς θεὸς τῶν ἁπάντων αὐτός ἐστι καὶ τριάς, καὶ ἡ τριὰς εἰς ἣν πιστεύομεν αὐτός ἐστιν ὁ εἷς καὶ μόνος θεός.*

ΑΣΕΒΗΣ. *Παραδοξότατον τοῦτο δοκεῖ. εἰ γὰρ ἕν ἐστιν ὁ θεός, οὐκ ἂν εἴη καὶ τρία, εἰ δ' ἐστὶ τρία, οὐκ ἂν εἴη ἕν.*

ΕΥΣΕΒΗΣ. *Ὁμολογουμένως ἐστὶ παράδοξον, διὰ γὰρ τοῦτο καὶ θεῖον· εἰ γὰρ συμβαῖνον ταῖς πάντων δόξαις καὶ σύνηθες ἦν, οὐκ ἂν ἐπεφύκει θεῖον. πλὴν δ' ὁ αὐτὸς θεός ἐστι καὶ τρία καὶ ἕν.*

ΠΛΑΝΟΣ. *Τίνι τρόπῳ;*

ΑΛΗΘΗΣ. *Ὑπὲρ ἀπόδειξιν ἅπασαν.*

ΑΧΑΙΜΕΝΙΔΗΣ. *Οὐκ ἀρνοῦμαι ταύτῃ τῇ ἀποκρίσει· ἀπόδος καὶ τὸν περὶ τούτου μοι λόγον, ὅσον ἐνδέχεται.*

ΧΡΙΣΤΙΑΝΟΣ. *Οὐκ ἔστι τὰ ὑπὲρ φύσιν φυσικῶς ἀποδείκνυσθαι, ὡς οὐδὲ τὰ φυσικὰ διὰ τῶν ὑπὲρ φύσιν.*

ΤΑΛΑΣΙΜΑΝΗΣ. *Οὐδ' αὐτὸς τοῦτ' ἀπαιτῶ, ἀλλ' ἑτέρως ὑποδειγμάτισόν μοι. ἐπανάγαγέ με ποσῶς εἰς τὴν τοῦ ζητουμένου κατάληψιν. πέποιθα γάρ σοι ἐκ τῶν προειρημένων πλεῖστα κἂν τούτῳ σε δύνασθαι.*

[72] ΜΟΝΑΧΟΣ. *Ἐρῶ σοι λοιπόν, ἐπεὶ εὐγνωμόνως πυνθανόμενον βλέπω, οὐχ ὅσον ἴσμεν, ἀμυήτοις γὰρ ψυχαῖς ῥίπτειν τοὺς μαργαρίτας τούτους οὐκ ἐπετράπημεν, ἀλλ' ὅσον αὐτὸς συνιέναι δύνασαι· πρόσχες γοῦν. ὅτι πιστεύομεν ἕνα θεὸν εἶναι πάσης ὁρατῆς καὶ ἀοράτου φύσεως δημιουργόν· τὸ γὰρ μὴ οὕτω φρονεῖν ἀθεότητος ἄντικρυς. ὁ τοιοῦτος τοίνυν ἀνάγκη καὶ λόγον ἔχειν· θεὸς γὰρ πῶς ἂν εἴη ἄλογος; ἀλλὰ καὶ πνεῦμα δεῖ ἔχειν τὸν λόγον, ἐπεὶ οὐδεὶς ἄνευ πνεύματος πρόεισι λόγος. ἀλλὰ καὶ ἐνυπόστατά φαμεν εἶναι ταῦτα· οὐδὲν γὰρ τῶν ἐν τῷ θεῷ ἀνυπόστατον. καὶ τοῦτό ἐστιν ἡμῖν ἡ τριὰς ἣν ἀκούεις, οὐ θεὸν καὶ θεὸν καὶ θεόν, ἄπαγε, δογματίζοντες, πολυθεΐα γὰρ τοῦτο σαφής, ἀλλὰ τὰ τρία ταῦτα ταῖς ἰδιότησιν ἕνα τῇ φύσει θεόν.* [73] *εἶτα, σὺ ὁ πιστεύων κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν θεοῦ γενέσθαι τὸν ἄνθρωπον, πῶς ἐν τῇ εἰκόνι θεωρῶν τὴν τριάδα τὸ τῆς εἰκόνος πρωτότυπον ἀπιστεῖς;*

ΚΑΡΜΙΑΝΟΣ. *Φώτισόν μοι· οὔπω γὰρ κατενόησα τὴν ἐν τῇ εἰκόνι ταύτῃ τριάδα.*

ΒΡΥΕΝΝΙΟΣ. *Φημὶ ὅτι κατ' εἰκόνα θεοῦ ὁ ἄνθρωπος καὶ γέγονε καὶ ἐστίν, οὐ κατὰ τὸν τύπον τοῦ σώματος ἀλλὰ κατὰ τὴν τῆς ψυχῆς ἰδιότητα.*

ΙΣΜΑΗΛ. *Σύμφημι.*

ΙΩΣΗΦ. *Θεωρεῖται δ' ἐν τῇ ψυχῇ ἐν ταὐτῷ νοῦς καὶ λόγος καὶ πνεῦμα, ἅμα τρία*

---

792 *καὶ ἡ τριὰς* παραλ. K 793 *ὁ* παραλ. K 794 *ὁ* παραλ. ΠΒ 796 *διὰ γὰρ τοῦτο καὶ* : *καὶ διὰ τοῦτο καὶ* ΠΚ 812 *τοίνυν ὁ τοιοῦτος* Β 819 *προτότυπον* Β *πρότυπον* Π *πρώτυπον* Κ 820 *τὴν περὶ τὴν εἰκόνα* ἐν ὤᾳ διορθ. *τὴν ἐν τῇ εἰκόνι* Κ

νος ἀσχολοῦνται ἐκτενέστατα περὶ τὸ πρόβλημα τοῦ ἐν Τριάδι Θεοῦ (Γεννάδιος, Γ. 'Αμιρούτζης, Γ. Τραπεζούντιος).

καὶ ἕν, ἅπερ αὐτή ἐστιν ἡ ψυχή. ὡς οὖν ταῦτα ἀμερίστως ἐν τῇ εἰκόνι νοεῖται, οὕτως ἐν τῷ πρωτοτύπῳ, καὶ κατ' ἐπέκεινα σφόδρα θεοπρεπῶς πατήρ, υἱός, πνεῦμα ἅγιον, ὅπερ ἐστὶν ὁ θεός, ἡ ἁγία Τριάς, ἡ τρία οὖσα καὶ ἕν[1].

[74] ΑΠΙΣΤΟΣ. *Οὐκοῦν, ἡ αὐτὴ καὶ μία τριάς, ἐπεὶ ἕν ἐστι καὶ τρία, καὶ εἷς θεός ἐστι καὶ τρεῖς;*

ΟΡΘΟΔΟΞΟΣ. *Ἥκιστά γε.*

ΑΣΕΒΗΣ. *Καὶ τίνι τρόπῳ, ἀπόδειξον, ὅτι ἐνταῦθά ἐστιν ὁ ἀγών. ἐνταῦθα, εἰ ἐν ἔτι μοι τοῦτο λύσεις, ὁμόφρονά σοι... ἀλλ' οὐδὲν οὔπω λέγω ὅτι οὐδὲ δυνήσῃ λῦσαι τὸ ἀπορούμενον.*

ΕΥΣΕΒΗΣ. *Εἰπὲ θαρρούντως, μόνον εὐφήμως· πέποιθα γὰρ εἰς τὴν ἁγίαν Τριάδα ὅτι καὶ τοῦτο ῥᾳδίως καὶ ἀληθῶς σοι, ὥσπερ καὶ τἄλλα, λυθήσεται.*

[75] ΠΛΑΝΟΣ. *Ἰδοὺ ἐξ ὧν αὐτὸς καὶ φρονῶ καὶ οἰκείοις ὀφθαλμοῖς βλέπω, εἰ μὴ κοιμῶμαι, εἰ μὴ μεθύω, εἰ μὴ ἐξέστην, προτείνομαι ἀληθέστατα, ὅτι σὺ ἄλλος μὲν ἄνθρωπος εἶ παρὰ τοῦτον, καὶ οὗτος ἕτερος ἄνθρωπός ἐστι παρὰ σέ, κἀκεῖνος πάλιν ἄλλος ἄνθρωπός ἐστι παρ' ὑμᾶς· καὶ διὰ τοῦτο οὔτε εἷς ἐστε οὔτε δύο ἀλλὰ τρεῖς. ἢ οὐχὶ καλῶς ἀποφαίνομαι;*

ΑΛΗΘΗΣ. *Ναί, καλῶς·* [76] *ἀλλὰ τί σοι βούλεται τὸ ἐρώτημα;*

ΑΧΑΙΜΕΝΙΔΗΣ. *Ἄρτι λέγω· ὁ ἐν τῇ τριάδι παρ' ὑμῖν δοξαζόμενος Πατὴρ αὐτὸς καθ' ἑαυτὸν ἴδιόν ἐστι πρόσωπον καὶ ὁ υἱὸς αὐτὸς καθ' ἑαυτὸν ἴδιον πάλιν πρόσωπον, ὅ γε Παράκλητος αὖθις αὐτὸς καθ' ἑαυτὸν ἴδιον πρόσωπον· καὶ ἄλλος ἐστὶν ὁ Πατὴρ παρὰ τὸν Υἱὸν καὶ οὐχ ὁ αὐτὸς τῷ Υἱῷ καὶ ὁ Υἱὸς ὁμοίως ἄλλος παρὰ τὸν Πατέρα καὶ παρ' ἐκείνους ὡσαύτως ἄλλος ἐστὶν ὁ Παράκλητος. καὶ κυρίως θεός ἐστιν ὁ Πατήρ, κυρίως θεός ἐστι καὶ ὁ Υἱός, κυρίως θεός ἐστι καὶ ὁ Παράκλητος. τούτων οὖν οὕτως ἐχόντων, πῶς οὐ τρεῖς θεοὶ ἐκεῖνοι, ὥσπερ ὑμεῖς τρεῖς ἐστε ἄνθρωποι; ἀλλ' ἐκεῖνοι μὲν εἷς, ὑμεῖς δὲ τρεῖς; καὶ πῶς*

---

831 *τίνι τρόπῳ* : *τίνα τρόπον* ΠΚΒ 834 *θαῤῥούντας* ἐν τῇ φᾳ διορθ. *θαῤῥούντος* Κ 837 *ἐξέστην* : *ἔξεστιν* ΠΚ 841 *Ναὶ* : *καὶ* Κ 842 *ἡμῖν* ἐν φᾳ διορθ. *ὑμῖν* Κ 844 *ὅ γε... ἴδιον πρόσωπον* παραλ. ΠΚ 846 *ἄλλος*[1] : *ἀλλὰ* ΠΚ

---

1. Ἡ εἰκὼν τοῦ τρισυποστάτου τῆς ψυχῆς τοῦ ἀνθρώπου, εἰλημμένη ἐκ τῶν συγγραμμάτων τῆς περιόδου τῶν χριστολογικῶν ἐρίδων καὶ δὴ τῶν τοῦ Μεγάλου Ἀθανασίου, ἐχρησιμοποιήθη συχνάκις καὶ κατὰ τοῦ Ἰσλάμ. Βλ. Νικήτα τοῦ Βυζαντίου, Ἀντίρρησις..., PG 105, 833 B - D. Εὐθυμίου Μοναχοῦ, Διάλεξις..., PG 131, 15 A - C. Ψευδο - Γενναδίου, Περὶ τῆς ὁδοῦ τῆς σωτηρίας, PG 160, 320 - 326. Ὁ Βρυέννιος προβάλλει ἐνταῦθα τὸ παράδειγμα τῆς διακρίσεως μεταξὺ οὐσίας καὶ ἐνεργείας. Οἱ κατὰ τοῦ Ἰσλὰμ ἀπολογηταὶ ἐστράφησαν κυρίως πρὸς ἐξεύρεσιν εἰκόνων ἐκ τοῦ φυσικοῦ κόσμου, τὰ δὲ παραδείγματα τοῦ εἴδους αὐτοῦ εἶναι πολυάριθμα. Βλ. Εὐθυμίου Μοναχοῦ, ἔνθ' ἀνωτ. Ψευδο - Γενναδίου, ἔνθ' ἀνωτ. Ἀνωνύμου, Ἔλεγχος..., κῶδ. 110 Μονῆς Διονυσίου (Ἄθω), φφ. 269β - 270β. Κοσμᾶ τοῦ Αἰτωλοῦ, Κηρύγματα, ἔκδ. Αὐγ. Καντιώτου, Ἀθῆναι 1959, σσ. 35 - 36 καὶ 65 - 69. Ἀναστασίου τοῦ Γορδίου, ἔνθ' ἀνωτ., σσ. 173 - 178. Βλ. καὶ σ. 163, σημ. 3.

ἐλευθέρᾳ γλώττῃ ἓν μὲν καὶ τρία τὸν θεὸν λέγετε, ἕνα δὲ τὸν αὐτὸν καὶ τρεῖς οὐ τολμᾶτε λέγειν;

ΧΡΙΣΤΙΑΝΟΣ. *Τοῦτό ἐστι τὸ μέγα ἐκεῖνο καὶ δυσδιάλυτον, ὃ πρὸ μικροῦ εἰπεῖν ἔφης, ἢ ἄλλο;*

ΤΑΛΑΣΙΜΑΝΗΣ. *Τοῦτο, οὐκ ἄλλο.*

[77] ΜΟΝΑΧΟΣ. *Πρόσχες οὖν συναγαγών σου τὸν νοῦν. διὰ τοῦτο ἡμεῖς μὲν οὓς ὁρᾷς τρεῖς καὶ λεγόμεθα καὶ ἐσμὲν ἄνθρωποι, ὅτι τὸ «ἄνθρωπος» ὄνομα λεγόμενον ἐφ' ἡμῖν τὴν τῆς ἀνθρωπότητος φύσιν δηλοῖ, καὶ ἐστὶ τὸ ὄνομα τοῦτο σημαντικὸν φύσεως, ὡς καὶ ἐπὶ πάντων τῶν ὀνομαζομένων κτισμάτων. ἐπὶ μέντοι τῶν θείων προσώπων, ἤτοι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ 'Αγίου Πνεύματος, λεγόμενον τὸ «θεὸς» ὄνομα οὐ φύσιν σημαίνει, ἀλλ' ἔστιν ἐνεργείας σημαντικόν. ἐπεὶ δὲ ταύτην τὴν διὰ τοῦ «θεὸς» ὀνόματος σημαινομένην ἐνέργειαν ἐπ' ἴσης ἔχει ὁ Πατήρ, ἐπ' ἴσης ἔχει ὁ Υἱός, ἐπ' ἴσης ἔχει τὸ Πνεῦμα τὸ Ἅγιον, διὰ τοῦτο καὶ ἰδίᾳ ἕκαστον θεὸς κυρίως καὶ λέγεται καὶ ἐστί· καὶ τὰ τρία ἅμα εἷς πάλιν κυρίως θεός.*

ΚΑΡΜΙΑΝΟΣ. *Οὔπω νοῶ τὸ λεγόμενον· σαφήνισόν μοι τὸν λόγον, ἐπεὶ δοκεῖς μοι παραλογίζεσθαι.*

ΒΡΥΕΝΝΙΟΣ. *Λέγω δὴ τοῦτο σαφέστερον ἄλλως, ὅτι σὺ θεὸν τὸν Πατέρα ἀκούων, θεὸν τὸν Υἱόν, θεὸν τὸ Πνεῦμα τὸ Ἅγιον, τρεῖς θεοὺς εἶναι τούτους νομίζεις, οὐχ ἕνα, ἐπειδὴ δοκεῖς ὅτι τὸ «θεὸς» ὄνομα τοῦτο λεγόμενον ἐπὶ τῶν θείων προσώπων φύσιν ἐκεῖ δηλοῖ καὶ δηλωτικόν ἐστι τοῦτο φύσεως, ὥσπερ καὶ ἐφ' ἡμῖν, οὓς ὁρᾷς τρεῖς ἀνθρώπους, τὸ «ἄνθρωπος» ὄνομα. τόδε οὐχ οὕτως ἔχει.*

[78] ΙΣΜΑΗΛ. *'Αλλὰ πῶς;*

ΙΩΣΗΦ. *Ἄκουσον· ἡ θεία φύσις ὄνομα οὐκ ἔχει, ὃ ἡμῖν γεννητοῖς ἀνθρώποις γινωσκόμενον· πᾶν γὰρ ὀνομαζόμενον ὀνομάζεται ὑπὸ τοῦ κρείττονος, ἵνα τὸ μὲν καλῇ τὸ δὲ ὑπακούῃ. τίς οὖν ὁ ὀνομάσας φύσιν θεοῦ; θεὸν οὖν ὀνομάζοντες ἰδίᾳ ἕκαστον τῶν θείων προσώπων καὶ αὖθις ἅμα πάντα ἕνα θεὸν λέγοντες, οὐ τὴν φύσιν αὐτὴν τῆς θεότητος διὰ τούτου σημαίνομεν, ἄπαγε, ἢ γὰρ ἂν τρεῖς θεοὺς ἐδοξάζομεν, ἀλλὰ διὰ τοῦ «θεὸς» ὄνομα τοῦτο τὴν μίαν καὶ αὐτὴν ἐνέργειαν τῶν τριῶν δηλοῦμεν, ἐπειδὴ ἀπὸ τοῦ τὰ πάντα θεᾶσθαι ἢ πανταχοῦ θέειν ἢ τὴν κακίαν αἴθειν τὸ ὄνομα τοῦτο παράγεται· ἣν δὴ ἐνέργειαν ἕκαστον τῶν ἐν τῇ τριάδι προσώπων ἴσην καὶ ἀπαράλλακτον κέκτηται τοῖς λοιποῖς.*

[79] ΑΠΙΣΤΟΣ. *Ἔτι μου ὁ λογισμὸς ὑποσκάζει καὶ ἀμφιγνοῶ τὸ ζητούμενον.*

ΟΡΘΟΔΟΞΟΣ. *'Εγώ σε νῦν θᾶττον τοῦ ἀμφιγνοεῖν ἀπαλλάξω. ἡμεῖς μὲν οἱ τρεῖς, τρεῖς λεγόμεθα ἄνθρωποι καὶ οὐχ εἷς, ὅτι τὴν τοῦ ἑνὸς ὑμῶν, ὁποίου ἂν εἴποις,*

---

852 *εἰπεῖν* παραλ. ΠΚ 864 *εἷς ἅμα* Κ 873 - 874 *ὃ ἡμῖν... γινωσκόμενον* παραλ. ΠΚ *ἢ ἡμῖν ἢ γεννητοῖς* Β 877 *αὐτὴν : αὐτῆς* ΠΒ *τούτου : τοῦτο* ΠΚ *ἤ : ἢ* ΠΚ : *ἡ* Β 878 *τοῦτο : τούτου* ΠΚΒ 880 *δὴ : δὲ* ΠΚ 882 *ὑποσκιάζει* Π 884 *εἴπης* Π : *εἴπῃς* κατόπιν διορθ. ἐν ὤᾳ *εἴποις* Κ

5 - 7 - 1967

ἐνέργειαν οὔτε οἱ λοιποὶ δύο ἅμα οὔτε ὁ εἷς ἡμῶν ὁπωσοῦν ἰδίᾳ ἔχει καθάπερ ἐκεῖνος ἀπηρτισμένην, οὔτε σχεῖν ταύτην τινὶ τρόπῳ δύναται οὔτε μήν, ἐργαζομένου αὐτοῦ, συνεργάζεται οὔτε, παυομένου τῆς ὁποιασοῦν ἐνεργείας, συγκαταπαύει. ὁ δὲ εἷς θεὸς λέγεται καὶ οὐ τρεῖς, ὅτι τῶν δύο ὁποιωνοῦν προσώπων τῶν ἐκεῖ τὴν ἀίδιον καὶ μίαν ἐνέργειαν, ἐξ ἧς θεὸς ὀνομάζονται, ἴσην κέκτηται τὸ λοιπὸν καὶ μόνιμον καὶ ὁλόκληρον καὶ διαφορὰ ἐν αὐτοῖς ἐνεργείας οὐκ ἔστι. καὶ τοῦτο μὲν κατὰ τοῦτο. ἓν δὲ καὶ τρία τὸν θεὸν λέγομεν οὐ κατὰ τὸ αὐτὸ καὶ ἓν πρᾶγμα, ἀλλὰ τρία μὲν αὐτόν φαμεν ταῖς ὑποστατικαῖς ἰδιότησιν, ἓν δὲ τῇ φύσει.

ΑΣΕΒΗΣ. Νῦν ἔγνων ἐναργῶς, ἤδη πεπληροφόρημαι, μηκέτι κοπία.

[80] ΕΥΣΕΒΗΣ. Οὐκ ἀποστήσομαι, ἕως ἂν ἐκ περιουσίας ἐναργέστερον τοῦτο διδάξω σε [1]. τρεῖς ἡμεῖς καὶ οὐχ εἷς, ὅτι τοῦ ἑνὸς ἡμῶν ἐπινοουμένου ἢ ὑφισταμένου ἢ ἀναιρουμένου, οὔτε συνεπινοοῦνται οὔτε συνυφίστανται οὔτε συναναιροῦνται οἱ λοιποί. εἷς δὲ θεὸς τὰ τρία τῶν θείων προσώπων, οὐ τρεῖς, ὅτι Πατρὸς ἐπινοουμένου, εὐθὺς συνεπινοεῖται τούτῳ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον καὶ τοῦ Υἱοῦ ὑφισταμένου ταῖς ἐπινοίαις, Πατὴρ ἅμα συνυφίσταται τούτῳ καὶ ὁ Παράκλητος καὶ τοῦ Παρακλήτου ἀναιρουμένου τῇ ἐπινοίᾳ, συναναιρεῖται τούτῳ αὐτίκα Πατὴρ ὁμοῦ καὶ Υἱός. πάλιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, ἡ ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν, εἷς ἐστι θεὸς καὶ οὐ τρεῖς καὶ ὅτι ὅλος ὁ Πατὴρ ἐν ὅλῳ τῷ Υἱῷ καὶ τῷ Παρακλήτῳ ὁρᾶται καὶ ὅλος ὁ Υἱὸς ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Παρακλήτῳ ὑπάρχει καὶ ὅλος ὁ Παράκλητος ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Υἱῷ κατοπτεύεται καὶ ἑνὶ λόγῳ, ὅλα ἐν ὅλοις ἐστίν. ἡμεῖς δὲ τρεῖς ἄνθρωποι καὶ οὐχ εἷς, ὅτι οὐδεὶς ἡμῶν θεωρεῖται ἐν τῷ ἑτέρῳ, ἀλλὰ μόνον καθ' ἑαυτόν ἐστιν ἕκαστος. καὶ οὔπω λέγω ὅτι ἡμεῖς μὲν καὶ τόποις διιστάμεθα καὶ τρόποις διαφέρομεν ἀλλήλων καὶ χρόνοις καὶ πλείοσιν ἄλλοις, τὰ θεῖα δὲ πρόσωπα, πρὸς τῷ μηδενὶ τῶν εἰρημένων ὑποκεῖσθαι, ἄκρᾳ καὶ ἀρρήκτῳ ἑνώσει συνδέδενται. τίς οὖν καθ' ἡμῶν ἔτι διᾶραι στόμα τολμήσει, εἰ μὴ πάντῃ ἔσται ἠλίθιος;

[81] ΤΑΛΑΣΙΜΑΝΗΣ. Ἰδοὺ συγκατατίθεται ἡ ψυχή μου τοῖς λόγοις σου καὶ περὶ βαπτίσματος λοιπόν σοι μελήσει [2]. ἔχω γὰρ καὶ ἑτέρωθεν πρὸς τοῦτο

---

889 ὀνομάζεται ΠΚ 893 μηκέτι κοπία ἤδη πεπληροφόρημαι Κ 895 σε : σι Π 896 συνισφύσταναι Κ 901 καί^{3} παραλ. ΠΚ 902 καί^{2} παραλ. Β

---

1. Ὁ Βρυέννιος παρουσιάζεται ἐπιμένων εἰς τὴν ἐξέτασιν τοῦ προβλήματος τῆς Ἁγίας Τριάδος. Ἐν τούτοις, ὁ συνομιλητής του εἶναι ἤδη πεπεισμένος περὶ τῆς ὀρθότητος τοῦ χριστιανικοῦ δόγματος. Οὕτω, προκειμένου περὶ τοῦ πλέον ἀκανθώδους προβλήματος, ἡ ψυχολογικὴ τοποθέτησις τῶν δύο προσώπων διευκολύνει τὰ μέγιστα τὸ ἔργον τοῦ χριστιανοῦ. Δέον ὅπως ἀναγνωρισθῇ ἐνταῦθα ἡ φιλολογικὴ δεξιοτεχνία τοῦ συγγραφέως.

2. Παρομοία εἶναι ἡ περίπτωσις καὶ τοῦ συνομιλητοῦ τοῦ Εὐθυμίου (PG 131,

εὔλογον πρόφασιν, ὅτι ἡ ἐμὴ μήτηρ ῥωμαία ἦν[1]. *τί οὖν τις ἀνθρώπων μετὰ τὸ βάπτισμα ποιήσει, ἵνα σωθῇ; πῶς εὕρῃ, εἰπέ, τὸν θεόν;*

ΜΟΝΑΧΟΣ. *Πολλαὶ μὲν αἱ πρὸς σωτηρίαν ὁδοί*[2]. *πλήν, εἴ τις ἐν οὐ προσχήματι ἀλλ' ἐν ἀληθείᾳ θέλει σωθῆναι, ὅταν τι μέλλῃ πράττειν, ἑαυτὸν ἐρωτάτω, εἰ θεάρεστόν ἐστι, καὶ τίς ἄρα τῶν τοῦ θεοῦ δούλων ἔπραξε τοῦτο ἢ ποῦ γέγραπται, καὶ πάντως ἐρεῖ τὸ συνειδὸς τὴν ἀλήθειαν. εὑρὼν οὖν ἀντεξεταζέτω καὶ τὸ τοῦ θεοῦ θέλημα πρὸς ἐκεῖνο καὶ ὡς ἐν τρυτάνῃ τῇ γνώσει σταθμίζων ἀμφότερα καὶ ἐν παντὶ τὴν τοῦ θεοῦ ἐντολὴν προτιμῶν, ἕως τέλους σωτηρίας οὐκ ἀποτεύξεται.*

[82] ΙΣΜΑΗΛ. *Συνῆκα τῶν εἰρημένων τὸν νοῦν. οἶδά σοι χάριν μεγίστην καὶ σὲ τῆς ἀγχινοίας ἄγαμαι. εὕροις τὸν 'Ιησοῦν ὃν ποθεῖς. καὶ ὧδε, εἰ βούλει, ὁ σύμπας ἡμῖν συμπληρωθήτω λόγος*[3].

---

915 *εὕροι* B 917 *μέλλει* B : *μέλει* ΠΚ 922 *σε* ΠΚΒ

---

37 C). Οἱ δύο διάλογοι παρουσιάζουν καταπληκτικὴν μεταξύ των ὁμοιότητα θεμάτων καὶ δομῆς. 'Εν τούτοις τόσον τὰ ἐπιχειρήματα ὅσον καὶ τὰ θέματα τοῦ Βρυεννίου παρουσιάζονται φιλοσοφικώτερα. 'Η Διάλεξις τοῦ Εὐθυμίου, ἔχουσα πρακτικώτερον χαρακτῆρα, ἐνδιατρίβει περὶ τὸ θέμα τῶν μυστηρίων τῆς 'Εκκλησίας.

1. Τὸ γεγονὸς ὅτι ἡ μήτηρ τοῦ 'Ισμαὴλ ἦτο ρωμαία, δηλ. χριστιανικῆς καταγωγῆς, οὐδεμίαν προκαλεῖ ἔκπληξιν, ἐφ' ὅσον τὸ φαινόμενον αὐτὸ ἦτο συνηθέστατον κατὰ τοὺς χρόνους ἐκείνους. Κατάπληξιν ὅμως προκαλεῖ τὸ γεγονός, ὅτι ἡ μήτηρ του ἠδυνήθη νὰ τῷ ἐμπνεύσῃ τοιοῦτον πρὸς τὴν χριστιανικὴν πίστιν ἐνδιαφέρον ὥστε καὶ τοὺς μωαμεθανοὺς συγγραφεῖς τοὺς γράψαντας περὶ αὐτῆς νὰ γνωρίζῃ (στ. 25 - 26) καὶ μὲ χριστιανοὺς νὰ συνδιαλέγηται (στ. 254 - 259) καὶ τὰς γραφὰς (στ. 577 - 578 καὶ 764 - 765) καὶ τοὺς ἐκκλησιαστικοὺς συγγραφεῖς (στ. 767 - 772) νὰ γνωρίζῃ. 'Η τοιαύτη ἀποκάλυψις τοῦ 'Ισμαήλ, ἀπολύτως πιθανή, ἀποτελεῖ ἀσφαλῶς ἐν τῇ σκέψει τοῦ Βρυεννίου ἓν τῶν σπουδαιοτέρων ἐπιχειρημάτων τῆς ἐπεμβάσεως τοῦ Θεοῦ ἐν τῇ ἱστορίᾳ.

2. 'Η ἔκφρασις « ὁδὸς τῆς σωτηρίας » χωρὶς νὰ εἶναι ξένη, εἶναι ἐν τούτοις ὀλίγον γνωστὴ εἰς τὴν κατὰ τοῦ 'Ισλὰμ χριστιανικὴν γραμματείαν. Πρῶτος ἐχρησιμοποίησεν αὐτὴν ὁ συγγραφεὺς τῆς Confessio (PG 154, 1152 B - 1169 A 16) ἔνθα ἡ εἰς αὐτὴν διδομένη ἔννοια εἶναι κυρίως « μυστικὴ » καὶ « μυστηριακή ». Τὸ *Περὶ τῆς ὁδοῦ τῆς σωτηρίας τῶν ἀνθρώπων* ἔργον τοῦ Γενναδίου Σχολαρίου ἐνδιατρίβει ἀκριβῶς εἰς τὴν ἔκθεσιν τῆς ἐννοίας καὶ πραγματικότητος τῆς ὁδοῦ ταύτης. 'Η διδομένη ὅμως ὑπὸ τοῦ Σχολαρίου ἔννοια εἶναι κυρίως φιλοσοφική. (Œuvres complètes, τόμ. III). 'Η *Περὶ τῆς ὁδοῦ τῆς σωτηρίας τῶν ἀνθρώπων Διάλεξις* τοῦ Ψευδο - Γενναδίου οὐδεμίαν βεβαίως ποιεῖται μνείαν τῆς τοιαύτης ὁδοῦ (PG 160, 320 - 332). 'Εὰν ὁ Βρυέννιος ἠρύσθη τὴν ἔννοιαν ταύτην ἐκ τῆς « Confessio », τῆς ὁποίας ὁ συγγραφεὺς δὲν ἔχει ἀκόμη προσδιορισθῆ ἐπακριβῶς (πιθανώτατα ὁ Ριχάρδος), δὲν εἶναι δυνατὸν νὰ ὑποστηριχθῇ. 'Η ὑπὸ τοῦ Βρυεννίου διδομένη ἔννοια εἶναι διάφορος. Δυνάμεθα ὅμως νὰ ὑποθέσωμεν ὅτι ὁ Γεννάδιος Σχολάριος ἔλαβεν ἀφορμὴν ἐκ τῶν λεγομένων τοῦ Βρυεννίου διὰ τὴν ἀνάπτυξιν τοῦ θέματος; Πάντως ἡ ἀποδιδομένη ὑπ' ἀμφοτέρων ἔννοια εἶναι σχεδὸν ἡ αὐτή.

3. 'Ο 'Ισμαὴλ ὅστις εἰς τὴν ἀρχὴν τοῦ διαλόγου ἐμφανίζεται λίαν εὐγενὴς ἀφήνει τὸν ἀναγνώστην εἰς τὸ τέλος μὲ τὴν αὐτὴν ἀγαθὴν ἐντύπωσιν. Εὐγένεια,

ΙΩΣΗΦ. *Εὐλογητὸν εἴη τὸ ὄνομα κυρίου, τοῦ καὶ σὲ καλέσαντος εἰς τὴν αὐτοῦ μερίδα καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν ἀξιώσαντος, ὃν ἀπ' ἄρτι πράξεσι θεραπεύειν ἀρίστοις παντὶ τρόπῳ σπούδασον, ἵνα σοι καὶ τὴν αὐτοῦ βασιλείαν ὡς εὐγνώμονι δούλῳ χαρίσηται, ἧς γένοιτό σοι σὺν ἡμῖν ἀπολαῦσαι τῇ τῆς μακαρίας Τριάδος φιλανθρωπίᾳ καὶ χάριτι· ὅτι ἡ εὐχαριστία, ἡ τιμή, ἡ μεγαλοπρέπεια καὶ ἡ προσκύνησις καὶ ἡ δόξα αὐτῇ πρέπει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.* [1].

ΑΣΤΕΡΙΟΣ ΑΡΓΥΡΙΟΥ

---

926 *καὶ* ἐπαναλ. K 930 *τῶν αἰώνων* παραλ. B ἐν τῇ ᾤᾳ ἄνω: *ἐνταῦθα τῆς μετὰ ἀπίστου διαλέξεώς ἐστι τὸ τέλος.* B

εἰλικρίνεια καὶ φιλομάθεια χαρακτηρίζουν αὐτὸν καθ' ὅλην τὴν διάρκειαν τῆς συζητήσεως.

1. Οὕτως ὁ διὰ τῆς ἐκθέσεως τῶν ψυχολογικῶν ὅρων διεξαγωγῆς του ἀρξάμενος διάλογος καταλήγει εἰς μίαν πρὸς τὸν ἐν Τριάδι Θεὸν εὐχαριστίαν. Εἶναι δύσκολον νὰ εἴπῃ τις μετὰ βεβαιότητος, ἐάν, διὰ τοῦ παρόντος διαλόγου, ὁ συγγραφεὺς καταδικάζει τὴν ἐμπάθειαν εἰς τὰς τοιούτου εἴδους συζητήσεις. Πάντως ὁ τοῦ Θεοῦ φωτισμὸς τίθεται ὑπ' αὐτοῦ ὑπεράνω παντὸς εἴδους συζητήσεως. Διότι ἀφ' ἑνὸς μὲν ἠθέλησε νὰ μᾶς παρουσιάσῃ τὴν Διάλεξίν του ὡς τὴν ἐπιτυχεστέραν δυνατήν, ἀφ' ἑτέρου δ' ἀποδίδει τὴν ἐπιτυχίαν εἰς τὴν θείαν ἐνέργειαν.

ΧΡΙΣΤΙΑΝΙΚΑ ΓΛΥΠΤΑ ΕΚ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΚΑΛΥΒΙΤΟΥ ΕΥΒΟΙΑΣ

Ὁ Ζακύνθιος μοναχὸς Παχώμιος Ρουσσᾶνος († 1553) εἰς ἐπιστολήν του πρὸς τὸν καλλιγράφον Φιλιππον ἀναφέρει *«δι' ἡσυχίαν καὶ τὴν τῶν ἀναγκαίων χρείαν εἰσὶ μὲν καὶ ἐν Εὐβοίᾳ μοναί...»* [1]. Πράγματι ἡ Εὔβοια, εἰς τὴν ὁποίαν εἰσέδυσεν ὁ Χριστιανισμὸς ἐνωρίτατα [2], εἶναι κατάσπαρτος ἐκ Χριστιανικῶν μνημείων.

Ἓν ἐκ τούτων εἶναι καὶ ἡ Μονὴ τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου κειμένη εἰς ἀπόστασιν μιᾶς περίπου ὥρας πρὸς τὰ ΒΔ τοῦ χωρίου Ψαχνά, τῆς ὁποίας τὰ χριστιανικὰ γλυπτὰ ἀμέσως θὰ ἐξετάσωμεν.

Εἰς τὴν αὐλὴν τοῦ καθολικοῦ μεταξὺ ἄλλων ἀρχιτεκτονικῶν λειψάνων εὑρίσκεται ἓν ἐπίθημα (εἰκ. 1) ἔχον τὸ σύνηθες σχῆμα τῆς κολούρου ἀντεστραμμένης πυραμίδος καὶ τὰς δύο αὐτοῦ μακρὰς πλευρὰς διῃρημένας εἰς δύο ζώνας. Ἐκ τούτων ἡ ὑψηλοτέρα καὶ στενωτέρα φέρει διακόσμησιν ἐκ διπλῶν ροδάκων καὶ ἀνθέων τοποθετημένων ἐναλλάξ, ἐνῷ ἡ κατωτέρα καὶ εὐρυτέρα φέρει εἰς τὸ μέσον ἓν ὡραιοτάτης κατασκευῆς φύλλον ἀκάνθου, ἑκατέρωθεν αὐτοῦ ἀνὰ ἓν φύλλον καλάμου καὶ ἐν συνεχείᾳ πάλιν φύλλα ἀκάνθου τοποθετημένα κατὰ τὰς ἀκμὰς οὕτως, ὥστε τὸ μέσον νεῦρον τοῦ φύλλου νὰ συμπίπτῃ πρὸς τὴν ἀκμὴν τοῦ ἐπιθήματος.

Ἡ κατ' αὐτὸν τὸν τρόπον διαίρεσις καὶ διακόσμησις τῆς ἐπιφανείας τοῦ ἐπιθήματος συναντᾶται καὶ εἰς ἄλλας ἀναγλύφους πλάκας χρησιμευούσας ὡς ἐπίκρανα παραστάδων τῆς μεγάλης βασιλικῆς Γ τῶν Χριστιανικῶν Θηβῶν τῆς Θεσσαλίας (Νέας Ἀγχιάλου) μνημείου τοῦ Ε' αἰ. ἀνακαινισθέντος κατὰ τὰ τέλη τοῦ Ϛ' καὶ τὰς ἀρχὰς τοῦ Ζ' αἰῶνος [3].

Καὶ εἰς αὐτὰς [4] τὸ ἄνω πλαίσιον κοσμεῖται διὰ τετραφύλλων ροδάκων

---

1. Ἀ. Μουστοξύδη, Ἑλληνομνήμων Α', 1843 - 1853, σ. 673.

2. Ἀρχιμ. Χρυσοστόμου Θέμελη, Ἀρχιγραμματέως τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ἀρχαὶ καὶ διάδοσις τοῦ Χριστιανισμοῦ ἐν Εὐβοίᾳ, Θεσσαλονίκη 1954.

3. Γ. Α. Σωτηρίου, Περὶ τῶν ἐν Ν. Ἀγχιάλῳ Ἀνασκαφῶν, Π.Α.Ε 1933, σσ. 52 κἑξ.

4. Γ. Α. Σωτηρίου, Ἡ βυζαντινὴ γλυπτικὴ τῆς Ἑλλάδος κατὰ τὸν 7ον καὶ 8ον αἰῶνα, Α.Ε. 1937, σ. 173 εἰκ. 2, σ. 174.

συνδεομένων μ' ἐλαφρῶς κυματίζον στέλεχος ἢ ἄλλων ἀνθέων. Τὸ κάτω πλαίσιον φέρει τὰ ἡμίφυλλα ἀκάνθου ἀλλὰ διαφέρει ὡς πρὸς τὸ κεντρικὸν θέμα, ὅπου εἰς τὴν πρώτην πλάκα, τοῦ Ε' αἰ., ἔχομεν δύο δελφῖνας καὶ δύο μικροὺς ἰχθῦς ἑκατέρωθεν ἀνθεμίου, ἐνῷ εἰς τὰς ἄλλας, τοῦ Ζ' αἰ., ἀγγεῖον, ἐκ τοῦ ὁποίου πίνουν κεφαλαὶ διδύμων ἀετῶν καὶ πτηνὸν σπαράσσον ὄφιν. Τὸ ἐπίθημα πλησιάζει κατὰ τὴν τεχνοτροπίαν τὸ πρῶτον ἐπίκρανον ἀπὸ τὴν ἐκτέλεσιν τοῦ ὁποίου ὅμως ὑπερέχει πολύ.

Μεγάλην συγγένειαν τὸ ἐπίθημα τοῦτο ἔχει πρὸς κιονόκρανον τῆς Μ. Δαφνίου[1] μὲ φύλλον ἀκάνθης ὡραιοτάτης κατασκευῆς εἰς τὸ μέσον καὶ δύο ὀξέα φύλλα ἑκατέρωθεν χρονολογούμενον εἰς τὸν Ε' αἰῶνα.

Ἐπίσης εἰς ἓν τεμάχιον μεγάλου ἐπιστυλίου τοῦ Ἀσκληπιείου[2] τοῦ Ε' αἰῶνος, ἔχομεν ἀκριβῶς τὴν ἰδίαν παράστασιν, δηλαδὴ φύλλα ἀκάνθου καὶ ὑδροβίων φυτῶν τοποθετημένα ἐναλλάξ.

Τὸ θέμα τοῦτο τῆς μαλακῆς λεγομένης ἀκάνθου μὲ φύλλα ὑδροβίων φυτῶν εἶναι ἀγαπητότατον κατὰ τοὺς παλαιοχριστιανικοὺς χρόνους καὶ δὴ τὸν Ε' αἰῶνα[3] καὶ συναντᾶται ὑπὸ διαφόρους συνδυασμούς. Ἄλλοτε κοσμεῖ δίζωνα κιονόκρανα, τῶν ὁποίων ἡ κάτω ζώνη φέρει φύλλα μαλακῆς ἀκάνθου καὶ ἡ ἄλλη φύλλα ὑδροβίων φυτῶν (Μ. Δαφνίου[4], Μυστρᾶς[5], Βυζ. Μουσεῖον)· ἄλλοτε πάλιν τὰ φύλλα παρεμβάλλονται μεταξὺ κύκλων μὲ τὸ μονόγραμμα τοῦ Χριστοῦ[6] ἢ περιβάλλουν ἰσοσκελεῖς σταυρούς[7].

Τὸ ἴδιο θέμα συνεχίζεται καὶ εἰς τοὺς μετὰ τὸν Ε' αἰῶνας (Βασιλικαὶ Ν. Ἀγχιάλου)[8], ἀλλὰ παρατηρεῖται μεγάλη σχηματοποίησις τῶν φυτικῶν θεμάτων καὶ διάλυσις τῆς πλαστικότητος.

Οἱ διαχωριστικοὶ κιονίσκοι τοῦ τριλόβου παραθύρου τῆς κεντρικῆς κόγχης τοῦ ἱεροῦ φέρουν δύο ἐπιθήματα, τῶν ὁποίων αἱ μακραὶ πλευραὶ κοσμοῦνται δι' ὀξέων φύλλων ὑδροβίων φυτῶν, ἐνῷ αἱ στεναὶ φέρουν ἀνὰ ἕνα κύκλον καὶ ἐντὸς αὐτοῦ ἰσοσκελῆ σταυρὸν (εἰκ. 2). Καὶ τὰ ὀξέα φύλλα καὶ ὁ ἐντὸς κύκλου ἰσοσκελὴς σταυρὸς εἶναι θέματα συνηθέστατα διὰ τοὺς

---

1. G. Millet, Le monastère de Daphni, Paris 1899, fig. 1.
2. Ἀ. Ξυγγοπούλου, Χριστιανικὸν Ἀσκληπιεῖον, Α.Ε. 1915, σ. 60 εἰκ. 12.
3. J. Laurent, Delphes Chrétien, BCH (1899), 213.
4. G. Millet, ἔνθ' ἀν., εἰκ. 2.
5. G. Millet, Monuments byzantins de Mistra, fig. 32,2, 46,1,3.
6. Ἀ. Ξυγγοπούλου, ἔνθ' ἀν., σ. 57 εἰκ. 6. Μ. Σωτηρίου, Ὁ ναὸς τῆς Σκριποῦς Βοιωτίας, Α.Ε. 1931, σ. 157 εἰκ. 41.
7. Ἀ. Ξυγγοπούλου, ἔνθ' ἀν., σ. 56 εἰκ. 4, σ. 59 εἰκ. 11. F. Gabrol, Dictionnaire d'archéologie chretienne et de liturgie I, 2. fig. 1105.
8. Γ. Σωτηρίου, Ἡ βυζαντινὴ γλυπτικὴ τῆς Ἑλλάδος κατὰ τὸν 7ον ‹ 8ον αἰῶνα, Α.Ε. 1937, σ. 176 εἰκ. 5, 6, σ. 177 εἰκ. 8, σ. 173, σ. 181 εἰκ σ. 183 εἰκ. 16.

παλαιοχριστιανικούς χρόνους[1], ὡς μαρτυροῦν ὅμοια ἀρχιτεκτονικὰ λείψανα τοῦ Μυστρᾶ[2]. τῆς Μ. Δαφνίου[3], τῆς βασιλικῆς τοῦ 'Ιλισοῦ[4], τοῦ 'Ασκληπιείου[5], τῆς 'Ακροπόλεως[6], τῆς 'Ολυμπίας[7], τοῦ Λυκαβηττοῦ[8], ἀναγόμενα εἰς τὸν Ε' αἰ. Εἰς αὐτὸν τὸν αἰῶνα ἀνήκουν καὶ τὰ ἐπιθήματα ταῦτα τῆς μονῆς τοῦ ἁγίου 'Ιωάννου.

Τῆς αὐτῆς ἐποχῆς εἶναι καὶ ἓν ἐπίκρανον παραστάδος (εἰκ. 3) τοῦ ὁποίου ἡ ἐπιφάνεια κοσμουμένη δι' ὀξέων φύλλων ὑδροβίων φυτῶν φέρει εἰς τὸ μέσον κύκλον καὶ ἐντὸς αὐτοῦ μονογραμματικὸν σταυρόν. 'Ο μονογραμματικὸς σταυρὸς ὑπὸ τὰς δύο αὐτοῦ μορφὰς[9] ἀπαντᾷ ἐπὶ πολυπληθῶν χριστιανικῶν μνημείων, ὡς χρόνος δὲ τῆς ἀκμῆς αὐτοῦ θεωρεῖται ὁ Ε' αἰών[10].

Τὰ ὑπόλοιπα τεμάχια φέρουν διακόσμησιν ἐντελῶς ἀντίθετον διαπνεομένην ὑπὸ ἄλλου διακοσμητικοῦ πνεύματος καὶ ἡ ὁποία εἶναι ἡ κυρίως βυζαντινή. Μεταξὺ τούτων τὴν πρώτην θέσιν κατέχει τεμάχιον ἐντοιχισμένου ἐπιστυλίου (εἰκ. 4) φέρον ἐν ἐλαφρῷ ἀναγλύφῳ ὡραιοτάτην διακόσμησιν. Τὴν ἐπιφάνειαν πληροῦν τρεῖς κύκλοι ἐκ διμεροῦς ταινίας συνενούμενοι διὰ κόμβων, ἐκ τῶν ὁποίων οἱ δύο ἀκραῖοι περιβάλλουν καρδιόσχημα φυτικὰ κοσμήματα, ἐνῷ ὁ μεσαῖος παράστασιν πτερωτοῦ ζῴου μᾶλλον γρυπὸς (εἰκ. 5). Τὰ μεταξὺ τῶν κύκλων δημιουργούμενα κενὰ πληροῦνται διὰ σχηματοποιημένων φύλλων. Οἱ κύκλοι οἱ συνδεόμενοι μεταξύ των δι' ἄλλων μικροτέρων ἐν εἴδει κόμβων ἀπαντοῦν ἤδη εἰς εἰκονομαχικὰς τοιχογραφίας[11] τῆς Καππαδοκίας καὶ γίνονται συνηθέστατον θέμα κατὰ τὸν Θ' - ΙΒ' αἰ.[12].

---

1. J. Laurent, ἔνθ' ἀν.
2. G. Millet, Monuments byzantins de Mistra, pl. 46, 5, 9.
3. G. Millet, Le monastère de Daphni, Paris 1899, fig. 6.
4. Γ. Σωτηρίου, Παλαιὰ χριστιανικὴ βασιλικὴ 'Ιλισοῦ, Α Ε. 1919, σ. 14 εἰκ. 14.
5. 'Α. Ξυγγοπούλου, ἔνθ' ἀν., σ. 57 εἰκ. 6, 7.
6. Strygowski, Καισαριανή, Α.Ε. 1902, σ. 86 εἰκ. 17.
7. L. Bréhier, Nouvelles..., σ. 77 κέξ. Strygowski, ἔνθ' ἀν., σ. 89.
8. F. Gabrol, ἔνθ' ἀν. I, 2, fig. 1090.
9. 'Ως P, π.χ. G. Millet, Mistra..., pl. 46, 9 ἢ ὡς f, Γ. Σωτηρίου, Αἱ χριστιανικαὶ Θῆβαι τῆς Θεσσαλίας, Α.Ε. 1929, σ. 135 εἰκ. 185, 'Α. 'Ορλάνδου, ΑΒΜΕ, 3 (1937), σ. 199 εἰκ. 7.
10. J. Lanrent, ἔνθ' ἀν.
11. G. Jerphanion, Les églises rupestres de Cappadoce, Paris 1934, III, pl. 155.
12. G. Jerphanion, ἔνθ' ἀν., πίν. 177,2,4. Weitzmann, Die byzantinische Buchmalerei des 9. und 10. Jahrhnnderts, Berlin 1935, XV, 79. E. Diez - O. Demua, Byzantine Mosaics in Greece, Cambridge, 1931. fig. 49. Δ. Εὐαγγελίδη, 'Η Παναγία τῶν Χαλκέων, Θεσσαλονίκη 1954, σ. 38 εἰκ. 4. P. Beberl, Die Miniaturenhandschriften der Nationalbibliothek in Athen, Wien 1917, pl. X, 21. 'Α. 'Ορλάνδου, 'Η Παναξιώτισσα τῆς Γαυρολίμνης, ΑΒΜΕ Α' (1935).

Ἄλλοτε ἐντὸς τῶν συμπλεκομένων κύκλων ἔχομεν φυτικὰ κοσμήματα[1] ἢ γεωμετρικὰ[2] καὶ ἄλλοτε κεφαλὰς ἁγίων[3]. Εἰς ἓν ἐπιστύλιον τοῦ ὁσίου Λουκᾶ Λεβαδείας[4] ἔχομεν ἀκριβῶς τὸ αὐτὸ θέμα δηλ. φυτὰ καὶ ζῷα ἐναλλὰξ τοποθετημένα.

Οἱ τεχνῖται τοῦ Θ', ΙΒ' αἰῶνος, ὡς γνωστόν, ἀρέσκονται εἰς τὴν ἀπεικόνισιν φανταστικῶν ζῴων, πτερωτῶν κατὰ τὸ πλεῖστον, κατὰ ἀνατολικὴν προφανῶς ἐπίδρασιν. Ἐξ αὐτῶν ἐμπνέεται ὄχι μόνον ἡ βυζαντινὴ τέχνη, ἰδίᾳ ἀπὸ τοῦ Θ' μ.Χ. αἰῶνος ἀλλὰ καὶ ἡ πρώιμος ἀρχαϊκὴ ἑλληνική[5]. Ἀντωποὶ λέοντες, παγώνια καταβάλλοντα λαγοὺς ἢ ἀντιμέτωπα πίνοντα ἀπὸ λεκάνης περιρραντηρίου, ἀετοί, σφίγγες, γρύπες ἢ γρυπολέοντες κ.ἄ. Εἶναι ἀγαπητὰ εἰς τοὺς βυζαντινοὺς θέματα.

Ἰδίᾳ ἡ παράστασις τῶν γρυπῶν ἦτο προσφιλεστάτη καὶ τὴν συναντῶμεν εἰς ἀρχιτεκτονικὰ μέλη μνημείων τῆς Ἄρτης — Κάστρου[6], Παρηγορητίσσης[7], Μ. Βλαχερνῶν[8] — Θηβῶν[9], Σμύρνης κ.ἄ.[10] χρονολογούμενα ἀπὸ τοῦ Θ' - ΙΒ' αἰῶνος, εἰς Εὐαγγέλια[11] καὶ εἰς τὴν κεραμικὴν διακόσμησιν[12].

Καὶ ἐδῶ τὸ ζῷον εἰκονίσθη κατὰ κρόταφον κινούμενον πρὸς τὰ δεξιὰ μὲ ἐστραμμένην τὴν κεφαλήν του πρὸς τὰ ὀπίσω, εἰς τὴν χαρακτηριστικὴν αὐτὴν στάσιν τῶν ζῴων τῆς ἀνατολικῆς διακοσμητικῆς τοῦ Θ' - ΙΒ' αἰῶνος[13].

σ. 131 εἰκ. 6. Ἀ. Ὀρλάνδου, Ἡ παρὰ τὴν Ἄρταν Μονὴ τῶν Βλαχερνῶν, ΑΒΜΕ Β' (1936), σ. 23 εἰκ. 17 κ.ἄ.

1. A. Orlandos, Monum. byz. de Chios, 1930, II, pl. 7.

2. Al. Frantz, The Middle Ages..., fig. 50. Ἀ. Ὀρλάνδου, Ἡ Περίβλεπτος τῶν Πολιτικῶν τῆς Εὐβοίας, ΑΒΜΕ Γ' (1937), σ. 184 εἰκ. 8. Γ. Σωτηρίου, Πρακτικὰ Χριστ. Ἀρχ. Ἑταιρείας 1933 - 1934, σ. 58 εἰκ. 2.

3. A. Orlandos, Monum. byz. de Chios, 1930, II, pl. 7. Ἀ. Ὀρλάνδου, Γλυπτὰ τοῦ Μουσείου Θηβῶν, ΑΒΜΕ Ε' (1939 - 1940), σ. 126 εἰκ. 7.

4. Schultz-Barnsley, Saint Luke of Stiris, London 1901, pl. 15, 23.

5. E. Buchor, Griechische Vasenmalerei[2], München 1921, σ. 49.

6. Ἀ. Ὀρλάνδου, Ἠπειρωτικὰ Χρονικὰ 10 (1935), πίν. 3 εἰκ. 2, 9.

7. Ἀ. Ὀρλάνδου, Ἡ Παρηγορήτισσα τῆς Ἄρτης[2], Ἀθῆναι 1963, σ. 101, εἰκ. 109.

8. Ἀ. Ὀρλάνδου, Ἡ παρὰ τὴν Ἄρταν Μονὴ τῶν Βλαχερνῶν, ΑΒΜΕ Β' (1936), σ. 38 εἰκ. 35.

9. Ἀ. Ὀρλάνδου, Γλυπτὰ τοῦ Μουσείου Θηβῶν, ΑΒΜΕ Ε' (1939 - 1940), σ. 130, εἰκ. 12, σ. 134, εἰκ. 17.

10. Ἀ. Ὀρλάνδου, ἔνθ' ἀν., σ. 137 εἰκ. 9. Γ. Σωτηρίου, Ὁδηγὸς Βυζαντινοῦ Μουσείου, Ἀθῆναι 1931, σ. 56. Ἀ. Ὀρλάνδου, Προστομιαῖον τοῦ Μουσείου Ἡρακλείου, Ἀρχ. Δελτ. 9 (1924 - 1925), σ. 189 εἰκ. 3. Ἀ. Ὀρλάνδος, Δελτ. Χριστ. Ἀρχ. Ἑτ. Δ' (1927), σ. 24 εἰκ. 2.

11. A. Grabar, Sculpture..., pl. LIX.

12. Αὐτόθι, πίν. LXX.

13. Ἀ. Ὀρλάνδου, Γλυπτὰ τοῦ Μουσείου Θηβῶν, ΑΒΜΕ Ε' (1939 - 1940), σ. 130 εἰκ. 11, σ. 143 εἰκ. 24.

Πρὸ τῆς κεντρικῆς εἰσόδου τοῦ ναοῦ εἶναι ἐντοιχισμένον ἓν ὀρθογώνιον μαρμάρινον θωράκιον (εἰκ. 6). Ἐπὶ τούτου εἰκονίζεται ἐν ἐλαφρῷ ἀναγλύφῳ ρόμβος ἐκ τριμεροῦς ταινίας ἐγγεγραμμένος ἐντὸς τοῦ ὀρθογωνίου πλαισίου, μετὰ τοῦ ὁποίου συμπλέκεται διὰ κόμβων. Τὸ κέντρον τοῦ ρόμβου ὡς καὶ τὰ τέσσαρα δημιουργούμενα ἐκτὸς τοῦ ρόμβου κενὰ κοσμοῦν ὡραῖοι ὀκτάφυλλοι ρόδακες. Τὸ θέμα τοῦτο τῶν ρόμβων σύνηθες ἀπὸ τοὺς παλαιοχριστιανικοὺς χρόνους[1] συνεχίζεται καθ' ὅλην τὴν βυζαντινὴν ἐποχὴν μὲ διαφόρους συνδυασμούς. Τὸ θωράκιον τοῦτο εἶναι ὅμοιον μὲ ἓν ἐκ Κερκύρας[2], ὅπου καὶ ὁ ρόμβος συμπλέκεται ὁμοίως μετὰ τοῦ πλαισίου καὶ εἰς τὸ κέντρον αὐτοῦ καὶ εἰς τὰ δημιουργούμενα κενὰ ἔχομεν τὴν παράστασιν τῶν ροδάκων. Συγγενεύει ἐπίσης πρὸς ἓν ἄλλο θωράκιον τοῦ Ι' αἰ. ἐντοιχισμένον εἰς τὸν ναὸν τοῦ ἁγίου Ἐλευθερίου[3], τὸ ὁποῖον φέρει τὴν αὐτὴν διακόσμησιν μὲ τὴν διαφορὰν ὅμως ὅτι τὸ κέντρον τοῦ ρόμβου κατέχει δικέφαλος ἀετός. Ὅμοια θωράκια αὐτῆς τῆς ἐποχῆς ἔχομεν εἰς τὸ Ἅγιον Ὄρος[4], εἰς τὴν Καισαριανήν[5], εἰς τὸν ὅσιον Λουκᾶν[6], εἰς τὴν Χίον[7], εἰς τὴν Λάρισαν[8], εἰς τὸ Κάστρον τῆς Ἄρτης[9] κ.ἄ.

Ἐπίσης σῴζεται τμῆμα ἄλλου ἐντοιχισμένου ἐπιστυλίου ἐξαιρετικῆς τέχνης (εἰκ. 7), τοῦ ὁποίου ἡ ἐπιφάνεια κοσμεῖται δι' ἑνὸς ἐξέργου ὀκταφύλλου ρόδακος καὶ ἐν συνεχείᾳ διὰ κοσμήματος ἀποτελουμένου ἐκ τετραγώνων ἐκ διμεροῦς ταινίας συναπτομένων διὰ κόμβων. Τὰ τετράγωνα περικλείουν φυτικὰ κοσμήματα ἢ γεωμετρικὰ μὲ βάσιν πάντοτε τὸν σταυρόν. Τὸ θέμα τοῦτο τῶν τετραγώνων τῶν συνδεομένων διὰ κόμβων εἶναι χαρακτηριστικὸν δεῖγμα τῆς ἀκμῆς τῆς βυζαντινῆς γλυπτικῆς καὶ τὸ συναντῶμεν πολλάκις καὶ ἰδιαιτέρως εἰς τὴν Εὔβοιαν, π.χ. εἰς τὸ Ἀλιβέρι[10], καὶ εἰς τὸ Μουσεῖον Χαλκίδος[11].

Τέλος ἓν τμῆμα ἐντοιχισμένου ἐπιστυλίου φέρει εἰς τὴν πρόσοψιν ἐπί-

---

1. Δ. Πάλλα, Παλαιοχριστιανικὰ θωράκια μετὰ ρόμβου, BCH 1950, σ. 233 κ.ἑ.
2. Ἰ. Παπαδημητρίου, Ὁ ναὸς τῶν Ἁγίων Ἰάσωνος καὶ Σωσιπάτρου ἐν Κερκύρᾳ, Α.Ε. (1934 - 1935), σ. 51.
3. Μ. Χατζηδάκη, Βυζαντινὴ Ἀθήνα, εἰκ. 43.
4. Ἀ. Ὀρλάνδου, Τὸ μαρμάρινον τέμπλον τοῦ Πρωτάτου τῶν Καρυῶν, ΕΕΒΣ ΚΓ' (1953), σ. 87 εἰκ. 2.
5. Μ. Χατζηδάκη, ἔνθ' ἀν., εἰκ. 117.
6. Shultz-Barnsley, ἔνθ' ἀν., pl. 23.
7. A. Orlandos, Monum. byz. de Chios, pl. 7.
8. Ἀ. Ὀρλάνδου, Ὁ ἅγ. Δημήτριος Κατσούρη, ΑΒΜΕ Β' (1936), σ. 66 εἰκ. 9.
9. Ἀ. Ὀρλάνδου, Τὸ Κάστρον τῆς Ἄρτης, ΑΒΜΕ 2 (1936), σ. 159 εἰκ. 10.
10. Ἀ. Ὀρλάνδου, Τὸ παρὰ τὸ Ἀλιβέρι μετόχιον τοῦ ὁσίου Λουκᾶ Φωκίδος, ΑΒΜΕ Ζ' (1951), σσ. 135, 136.
11. Ἀδημοσίευτα.



Εἰκ. 1. Ἐπίθημα.



Εἰκ. 2. Τὸ τρίλοβον παράθυρον τῆς κεντρικῆς κόγχης τοῦ ἱεροῦ.



Εἰκ. 7. Τεμάχιον ἐπιστυλίου.



Εἰκ. 8. Τεμάχιον ἐπιστυλίου.

σης ὡραιοτάτην διακόσμησιν. Διαιρεῖται εἰς δύο τετράγωνα, τὰ ὁποῖα περικλείουν τὸ ἴδιο κόσμημα (εἰκ. 8). Ἐντὸς κυκλικοῦ μετὰ κόμβων πλέγματος ὑπάρχει ἰσοσκελὴς σταυρὸς ἐκ διμεροῦς ταινίας, αἱ κεραῖαι τοῦ ὁποίου ἀγκυρούμεναι κατὰ τὰ ἄκρα συναντῶνται ἀνὰ δύο σχηματίζουσαι ἀνθέμια, δι' ὧν πληροῦνται αἱ τέσσαρες τοῦ σταυροῦ γωνίαι.

Πρόδρομον τοῦ ἐσωτερικοῦ τούτου κοσμήματος βλέπομεν εἰς γλυπτὰ τῆς Χίου[1], ὅπου μόνον αἱ δύο κεραῖαι ἀγκυροῦνται πρὸς τὰ πλάγια, ἐνῷ ὅμοιον εἶναι τὸ θέμα τοῦ ἐπιστυλίου τοῦ μαρμαρίνου τέμπλου τοῦ καθολικοῦ τῆς γειτονικῆς μονῆς τῆς Περιβλέπτου τῶν Πολιτικῶν τοῦ ΙΒ' αἰῶνος[2].

Τὸ ἐξωτερικὸν κόσμημα τὸ ἐν τοῖς ἐγγράφοις[3] ὀνομαζόμενον πενταόμφαλον κοσμεῖ συνήθως κιονόκρανα[4], ἐπιστύλια, κυρίως ὅμως δάπεδα ὡς βλέπομεν εἰς τὴν Ν. Μονὴν τῆς Χίου[5], εἰς τὴν Μ. Βαρνάκοβας[6], εἰς τὴν Μ. Βλαχερνῶν τῆς Ἄρτης[7], εἰς τὴν Μ. Περιβλέπτου Εὐβοίας[8]. Καὶ εἰς τοὺς Ἁγ. Ἀποστόλους Ἀθηνῶν[9].

Ἐξ ὅσων ἐγράφησαν δυνάμεθα νὰ διαχωρίσωμεν τὰ χριστιανικὰ γλυπτὰ τῆς Μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου Εὐβοίας εἰς δύο ὁμάδας, ἐκ τῶν ὁποίων ἡ πρώτη (εἰκ. 1, 2, 3) ἀνήκει εἰς τὴν παλαιοχριστιανικὴν ἐποχὴν καὶ μάλιστα εἰς τὸν Ε' αἰῶνα ἐνῷ ἡ ἄλλη (εἰκ. 4, 5, 6, 7, 8) εἰς τὴν ἀκμὴν τῆς βυζαντινῆς γλυπτικῆς μεταξὺ Ι' καὶ ΙΒ' αἰῶνος.

ΙΩΑΝΝΗΣ ΛΙΑΠΗΣ

1. A. Orlandos, Monum. byz. de Chios, pl. 36.
2. Α.Ε. (1933 - 1934), σ. 74 εἰκ. 23.
3. Miklosich-Müller, Acta et diplomata, III, 56.
4. A. Orlandos, ἔνθ' ἀν., pl. 36.
5. A. Orlandos, ἔνθ' ἀν., πίν. 21.
6. Ἀ. Ὀρλάνδου, Ἡ Μονὴ Βαρνάκοβας, Ἀθῆναι 1932, πίν. 1.
7. Ἀ. Ὀρλάνδου, Ἡ Μονὴ Βλαχερνῶν Ἄρτης, ΑΒΜΕ 2 (1936), σ. 30 εἰκ. 25.
8. Ἀ. Ὀρλάνδου, Ἡ Περίβλεπτος τῶν Πολιτικῶν Εὐβοίας, ΑΒΜΕ Γ' (1937), σ. 178 εἰκ. 3.
9. Al. Frantz, ἔνθ' ἀν., fig. 50.

ΤΟ «ΝΟΜΟΚΡΙΤΗΡΙΟΝ»
ΕΠΙ ΤΟΥ ΥΠ' ΑΡΙΘ. 2764 ΚΩΔΙΚΟΣ ΤΗΣ ΕΘΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΕΛΛΑΔΟΣ

Ὁ ὑπ' ἀριθ. 2764 χειρόγραφος κῶδιξ τῆς Ἐθνικῆς Βιβλιοθήκης Ἑλλάδος (ΕΒΕ) περιεγράφη ὑπὸ τοῦ κ. Δημ. Γκίνη ὡς ἑξῆς: «Σελ. 1-192 τοῦ 18 αἰ. Νομοκάνων, Νόμοι καὶ κανόνες ἀφορῶντες τοὺς κληρικοὺς (ἀρχ. *Πρέπει τὸν κριτήν*...), σελ. 193-332, Νόμοι ἀφορῶντες τοὺς λαϊκοὺς «Νομοκριτήριον» τοῦ 17 αἰ.»[1]. Τὸ εἰς τὰς σελίδας 193-332 τοῦ κώδικος τούτου περιεχόμενον «Νομοκριτήριον» ἐξεδόθη προσφάτως ὑπὸ τοῦ αὐτοῦ Δημ. Γκίνη ἐν τῷ Περιγράμματι τοῦ Μεταβυζαντινοῦ Δικαίου, ὅπερ εἰς γ' ἔκδοσιν περιελήφθη εἰς τὰ δημοσιεύματα τῆς Ἀκαδημίας Ἀθηνῶν[2]. Λαβὼν ἀφορμὴν ἐκ τῆς ἐκδόσεως ταύτης ἐξήτασα τὸν περιέχοντα τὸ ἔργον τοῦτο κώδικα 2764 ΕΒΕ, δημοσιεύω δ' ἐνταῦθα τὰς ἀκολούθους ἐπ' αὐτοῦ παρατηρήσεις.

Ὁ κῶδιξ 2764 ΕΒΕ ἀποτελεῖται ἐκ δύο μερῶν, γεγραμμένων ὑπὸ δύο διαφορετικῶν χειρῶν καὶ ἐπὶ διαφορετικοῦ χάρτου. Τὸ πρῶτον μέρος τοῦ Κώδικος (σελίδες 1-192) περιέχει παραλλαγὴν εἰς δημώδη τοῦ Νομοκάνονος τοῦ Μαλαξοῦ, ἡ γραφὴ δ' αὐτοῦ εἶναι τοῦ ιζ' αἰῶνος. Τὸ δεύτερον μέρος τοῦ κώδικος (σελ. 193-332) περιέχει τὸ περὶ οὗ ὁ λόγος Νομοκριτήριον, ἡ γραφὴ δ' αὐτοῦ εἶναι ἀρχαιοτέρα τῆς τοῦ πρώτου μέρους, ἴσως τοῦ ιζ' αἰῶνος. Τὸ δεύτερον μέρος τοῦ κώδικος, ἐν ἀντιθέσει πρὸς τὸ πρῶτον, δὲν εἶναι ἀκέραιον, ἀλλ' ἐν τέλει αὐτοῦ ἐξέπεσεν ἄγνωστος ἀριθμὸς φύλλων, ὡς προκύπτει ἐκ τοῦ ὅτι ἡ σελ. 332 λήγει ἀποτόμως εἰς τὰς λέξεις: *«Ἡ δὲ κρίσις ὁποῦ θέλει νὰ γίνῃ εἰς ἱερωμένον»*[3].

Ὁ ἐπαναστaχώσας, ὡς θέλει λεχθῇ κατωτέρω, τὸν κώδικα σύγκελλος Παρθένιος προσέθεσεν ἐν μὲν τῇ ἀρχῇ τοῦ κώδικος 20 φύλλα, καταγράψας

---

1. Βλ. Δ. Γκίνη, Κείμενα βυζαντινοῦ καὶ μεταβυζαντινοῦ δικαίου εἰς χειρογράφους ἐν Ἑλλάδι κώδικας (1963), σελ. 25.

2. Πραγματεῖαι τῆς Ἀκαδημίας Ἀθηνῶν, τόμ. 26: Δ. Γκίνη, Περίγραμμα ἱστορίας τοῦ μεταβυζαντινοῦ δικαίου (1966), σελ. 65-112.

3. Αἱ λέξεις *εἰς ἱερωμένον* ἔχουσι γραφῇ ὑπὸ τοῦ γραφέως εἰς τὸ τέλος τῆς σελίδος, πρὸς δήλωσιν τῆς ἀρχῆς τῆς ἑπομένης σελίδος.

ἰδιοχείρως ἐν αὐτοῖς τὰ περιεχόμενα τοῦ κώδικος, ἐν δὲ τῷ τέλει προσέθεσε 40 φύλλα, εἰς τὴν ἀρχὴν δὲ τοῦ πρώτου ἐξ αὐτῶν συνεπλήρωσε τὸ ἀτελές, λόγῳ τῆς κολοβώσεως τοῦ κώδικος, κεφάλαιον ρκα΄ τοῦ Νομοκριτηρίου[1].

Χρησίμους πληροφορίας παρέχει ὁ Παρθένιος εἰς τὸν ἐν τῇ προμετωπίδι τοῦ κώδικος συνταγέντα ὑπ' αὐτοῦ τίτλον. Ὁ τίτλος ἔχει γραφῇ δι' ἑλληνικῶν καὶ λατινικῶν στοιχείων ἀναμείξ: *«Βιβλίον πρόχειρον νόmimoν, τὸ ὁποῖον περι ἔχει διάφωρα ὠφέλητα εἰς κριτὴν* [*καὶ ἀρχιερέα*] *χρήσιμα. Ἐξανασταχώθη τὸ παρὸν διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἐλαχίστου Sigelu Parteniu e comis Gimuvzinas* [= Συγκέλλου Παρθενίου ἐ⟨κ⟩ κώμης Γκιμουντζίνας[2]]. *Εἰς τοὺς 1801 ,αωα Μαρτίου 30 Μαρτίου λ. Colizenza* [= Con licenza] ».

Ἐκ τοῦ τίτλου τούτου συνάγομεν ὅτι ὁ κῶδιξ εἶχε σταχωθῆ παλαιότερον, ὁ δὲ σύγκελλος Παρθένιος ἐπανεστάχωσεν ἐν ἔτει 1801 αὐτόν, πιθανῶς διότι ἡ παλαιὰ στάχωσις εἶχε φθαρῆ. Δὲν ἠρκέσθη ὅμως ὁ Παρθένιος εἰς τοῦτο καὶ μόνον, ἀλλ' ἀνεπλήρωσε τὸν ἴσως συνεπείᾳ τῆς φθορᾶς τῆς σταχώσεως ἐκπεσόντα πίνακα τῶν περιεχομένων, ἀντιληφθεὶς δὲ ὅτι καὶ ἐν τέλει τοῦ κώδικος εἶχον ἐκπέσει φύλλα, προσέθεσε καὶ εἰς τὸ τέλος ἕτερα φύλλα[3] πρὸς τὸν σκοπὸν ὅπως συνεχίσῃ τὸ κείμενον[4].

Καὶ ταῦτα μὲν ἐν γένει περὶ τοῦ κώδικος 2764 ΕΒΕ. Εἰδικώτερον θέλει ἀπασχολήσει ἡμᾶς τὸ δεύτερον μέρος τοῦ κώδικος, τὸ περιέχον τὸ Νομοκριτήριον. Ἰδοὺ ἡ ἐν τῷ κώδικι (σελ. 193) ἐπιγραφὴ τοῦ β΄ τούτου μέρους: *«Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Νομοκριτηρίου»*. Τὸ α΄ κεφάλαιον ἐπιγράφεται: *«Περὶ γάμων, ὁποῦ ὁρίζουν οἱ νόμοι νὰ γίνονται καὶ νὰ μὴ δὲν γίνονται»*, τὸ δὲ τελευταῖον κεφ. ρκα΄: *«Περὶ κατηγορίας ἐπισκόπων καὶ πῶς κρίνεται ἡ ὑπόθεσις αὐτῶν»*.

Καὶ ἐξ ἁπλῆς ἀναγνώσεως τοῦ κειμένου τοῦ Νομοκριτηρίου συνάγεται

---

1. Πλὴν τῆς μικρᾶς ταύτης προσθήκης οὐδὲν ἕτερον κατεγράφη εἰς τὰ φύλλα ταῦτα.

2. Προφανῶς εἶναι ἡ Γκιουμουλτζίνα, ὡς ἐκαλεῖτο τουρκιστὶ ἡ Κομοτηνή.

3. Καὶ ἡ ἀρίθμησις τῶν σελίδων τοῦ κώδικος εἰς τὸν Παρθένιον ὀφείλεται, ὅστις ἠρίθμησε πρὸς τούτοις τὸν κώδικα καὶ κατὰ τετράδια φύλλων. Σημειωτέον ὅτι ὁ Παρθένιος δὲν συνηρίθμησε τὰ ὑπ' αὐτοῦ προστεθέντα ἐν τῷ κώδικι φύλλα.

4. Θὰ ἠδύναντο ὅμως νὰ διατυπωθῶσι καὶ αἱ ἑξῆς ὑποθέσεις: α) ὅτι ἀρχικῶς ὁ κῶδιξ ἀπετελεῖτο ἐκ μόνου τοῦ ἑνὸς ἐκ τῶν νῦν ὑπαρχόντων μερῶν, ἐπανασταχώσας δὲ τὸν κώδικα ὁ Παρθένιος προσέθεσε τὸν Νομοκάνονα τοῦ Μαλαξοῦ ἢ τὸ Νομοκριτήριον, ὅπερ ἦτο ἤδη ἐλλιπὲς κατὰ τὸ τέλος. Ἀλλὰ κατὰ τῆς ὑποθέσεως ταύτης μάχεται τὸ ὅτι ὁ Παρθένιος οὐ μόνον οὐδεμίαν μνείαν περὶ τοιαύτης τινὸς προσθήκης του ποιεῖται, ἀλλ' ἀντιθέτως λέγει: *«Ἐξανασταχώθη τὸ παρόν»*· β) ὅτι ἤδη καὶ κατὰ τὴν ἀρχικὴν στάχωσιν τοῦ κώδικος ἔλειπον ὁ πίναξ τῶν περιεχομένων τοῦ κώδικος καὶ τὸ τέλος τοῦ Νομοκριτηρίου.

